# ΠΑΡΑΡΤΗΜΑ: ΜΑΚΚΑΒΑΙΩΝ Δ

1 Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι
μέλλων, εἰ αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ
εὐσεβὴς λογισμός, συμβουλεύσαιμ' ἂν ὑμῖν
ὀρθῶς, ὅπως προθύμως προσέχητε τῇ
φιλοσοφίᾳ.
2 καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ
λόγος καὶ ἄλλως τῆς μεγίστης ἀρετῆς, λέγω
δὴ φρονήσεως, περιέχει ἔπαινον.
3 εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν
παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν,
γαστριμαργίας τε καὶ ἐπιθυμίας,
4 ἀλλὰ καὶ τῶν τῆς δικαιοσύνης
ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται,
οἷον κακοηθείας, καὶ τῶν τῆς ἀνδρείας
ἐμποδιστικῶν παθῶν, θυμοῦ τε καὶ πόνου καὶ
φόβου.
5 πῶς οὖν, ἴσως εἴποιεν ἄν τινες, εἰ τῶν
παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας
οὐ δεσπόζει; γελοῖον ἐπιχειροῦντες λέγειν·
6 οὐ γὰρ τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς
κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ
ἀνδρείας καὶ σωφροσύνης καὶ φρονήσεως
ἐναντίων, καὶ τούτων οὐχ ὥστε αὐτὰ
καταλῦσαι, ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι.
7 πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν ἔχοιμ'
ἂν ὑμῖν ἐπιδεῖξαι ὅτι αὐτοκράτωρ ἐστὶ τῶν

παθῶν ὁ εὐσεβὴς λογισμός.
8 πολὺ δὲ πλέον τοῦτο ἀποδείξαιμι ἀπὸ τῆς
ἀνδραγαθίας τῶν ὑπὲρ ἀρετῆς ἀποθανόντων,
Ἐλεαζάρου τε καὶ τῶν ἑπτὰ ἀδελφῶν καὶ τῆς
τούτων μητρός. ἅπαντες γὰρ οὗτοι τοὺς ἕως
θανάτου πόνους ὑπεριδόντες, ἐπεδείξαντο
ὅτι περικρατεῖ τῶν παθῶν ὁ λογισμός.
10 τῶν μὲν οὖν ἀρετῶν ἔπεστί μοι ἐπαινεῖν
τοὺς κατὰ τοῦτον τὸν καιρὸν ὑπὲρ τῆς
καλοκἀγαθίας ἀποθανόντας μετὰ τῆς μητρὸς
ἄνδρας, τῶν δὲ τιμῶν μακαρίσαιμ' ἄν.
11 θαυμασθέντες γὰρ ἐκεῖνοι οὐ μόνον ὑπὸ
πάντων ἀνθρώπων ἐπὶ τῇ ἀνδρείᾳ καὶ τῇ
ὑπομονῇ, ἀλλὰ καὶ ὑπὸ τῶν αἰκισαμένων,
αἴτιοι κατέστησαν τοῦ καταλυθῆναι τὴν
κατὰ τοῦ ἔθνους τυραννίδα, νικήσαντες τὸν
τύραννον τῇ ὑπομονῇ, ὥστε δι' αὐτῶν
καθαρισθῆναι τὴν πατρίδα.
12 ἀλλὰ καὶ περὶ τούτου νῦν αὐτίκα δὴ
λέγειν ἐξέσται ἀρξαμένῳ τῆς ὑποθέσεως,
ὥσπερ εἴωθα ποιεῖν, καὶ οὕτως εἰς τὸν περὶ
αὐτῶν τρέψομαι λόγον δόξαν διδοὺς τῷ
πανσόφῳ Θεῷ.

13 Ζητοῦμεν δὴ τοίνυν, εἰ αὐτοκράτωρ ἐστὶ
τῶν παθῶν ὁ λογισμός.
14 διακρίνομεν δὲ τί ποτέ ἐστι λογισμὸς καὶ
τί πάθος, καὶ πόσαι παθῶν ἰδέαι, καὶ εἰ
πάντων ἐπικρατεῖ τούτων ὁ λογισμός.
15 λογισμὸς μὲν δὴ τοίνυν ἐστὶ νοῦς μετὰ
ὀρθοῦ λόγου προτιμῶν τὸν σοφίας βίον.
16 σοφία δὴ τοίνυν ἐστὶ γνῶσις θείων καὶ

ἀνθρωπίνων πραγμάτων καὶ τῶν τούτων
αἰτίων.
17 αὕτη δὴ τοίτυν ἐστὶν ἡ τοῦ νόμου
παιδεία, δι' ἧς τὰ θεῖα σεμνῶς καὶ τὰ
ἀνθρώπινα συμφερόντως μανθάνομεν.
18 τῆς δὲ σοφίας ἰδέαι καθεστήκασι
τέσσαρες, φρόνησις καὶ δικαιοσύνη καὶ
ἀνδρεία καὶ σωφροσύνη·
19 κυριωτάτη δὲ πασῶν ἡ φρόνησις, ἐξ ἧς δὴ
τῶν παθῶν ὁ λογισμὸς ἐπικρατεῖ.
20 παθῶν δὲ φύσεις εἰσὶν αἱ
περιεκτικώταται δύο, ἡδονή τε καὶ πόνος·
τούτων δὲ ἑκάτερον καὶ περὶ τὸ σῶμα καὶ
περὶ τὴν ψυχὴν πέφυκεν.
21 πολλαὶ δὲ καὶ περὶ τὴν ἡδονὴν καὶ τὸν
πόνον παθῶν εἰσιν ἀκολουθίαι.
22 πρὸ μὲν οὖν τῆς ἡδονῆς ἐστιν ἐπιθυμία·
μετὰ δὲ τὴν ἡδονὴν χαρά.
23 πρὸ δὲ τοῦ πόνου ἐστὶ φόβος, μετὰ δὲ τὸν
πόνον λύπη.
24 θυμὸς δὲ κοινὸν πάθος ἐστὶν ἡδονῆς καὶ
πόνου, ἐὰν ἐννοηθῇ τις ὅτι αὐτῷ περιέπεσεν.
25 ἐν δὲ τῇ ἡδονῇ ἔνεστι καὶ ἡ κακοήθης
διάθεσις, πολυτροπωτάτη πάντων τῶν παθῶν
οὖσα.
26 κατὰ μὲν τὴν ψυχὴν ἀλαζονεία, καὶ
φιλαργυρία καὶ φιλοδοξία καὶ φιλονικία,
ἀπιστία καὶ βασκανία·
27 κατὰ δὲ τὸ σῶμα, παντοφαγία καὶ
λαιμαργία καὶ μονοφαγία.
28 καθάπερ οὖν δυοῖν τοῦ σώματος καὶ τῆς
ψυχῆς φυτῶν ὄντων ἡδονῆς τε καὶ πόνου,

πολλαὶ τούτων τῶν φυτῶν εἰσι παραφυάδες,
29 ὧν ἑκάστην ὁ παγγέωργος λογισμὸς
περικαθαίρων τε καὶ ἀποκνίζων καὶ
περιπλέκων καὶ ἐπάρδων καὶ πάντα τρόπον
μεταχέων ἐξημεροῖ τὰς τῶν ἠθῶν καὶ παθῶν
ὕλας.
30 ὁ γὰρ λογισμὸς τῶν μὲν ἀρετῶν ἐστιν
ἡγεμών, τῶν δέ παθῶν αὐτοκράτωρ.
Ἐπιθεωρεῖτε τοίνυν πρῶτον διὰ τῶν
κωλυτικῶν τῆς σωφροσύνης ἔργων, ὅτι
αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ λογισμός.
31 σωφροσύνη δὴ τοίνην ἐστὶν ἐπικράτεια
τῶν ἐπιθυμιῶν,
32 τῶν δὲ ἐπιθυμιῶν αἱ μέν εἰσι ψυχικαί, αἱ
δὲ σωματικαί, καὶ τούτων ἀμφοτέρων ὁ
λογισμὸς ἐπικρατεῖν φαίνεται.
33 ἐπεὶ πόθεν κινούμενοι πρὸς τὰς
ἀπειρημένας τροφὰς ἀποστρεφόμεθα τὰς ἐξ
αὐτῶν ἡδονάς; οὐχ ὅτι δύναται τῶν ὀρέξεων
ἐπικρατεῖν ὁ λογισμός; ἐγὼ μὲν οἶμαι.
34 τοιγαροῦν ἐνύδρων ἐπιθυμοῦντες καὶ
ὀρνέων καὶ τετραπόδων καὶ παντοίων
βρωμάτων τῶν ἀπηγορευμένων ἡμῖν κατὰ
τὸν νόμον ἀπεχόμεθα διὰ τὴν τοῦ λογισμοῦ
ἐπικράτειαν.
35 ἀνέχεται γὰρ τὰ τῶν ὀρέξεων πάθη ὑπὸ
τοῦ σώφρονος νοὸς ἀνακαμπτόμενα, καὶ
φιμοῦται πάντα τὰ τοῦ σώματος κινήματα
τοῦ λογισμοῦ.

# 2

1 Καὶ τί θαυμαστόν; εἰ αἱ τῆς ψυχῆς

ἐπιθυμίαι πρὸς τὴν τοῦ κάλλους μετουσίαν
ἀκυροῦνται;
2 ταύτῃ γοῦν ὁ σώφρων Ἰωσὴφ ἐπαινεῖται,
ὅτι τῷ λογισμῷ καὶ τῇ διανοίᾳ περιεκράτησε
τῆς ἡδυπαθείας.
3 νέος γὰρ ὢν καὶ ἀκμάζων πρὸς
συνουσιασμὸν ἠκύρωσε τῷ λογισμῷ τὸν τῶν
παθῶν οἶστρον.
4 οὐ μόνον δὲ τὴν τῆς ἡδυπαθείας
οἰστρηλασίαν ἐπικρατεῖν ὁ λογισμὸς
φαίνεται, ἀλλὰ καὶ πάσης ἐπιθυμίας.
5 λέγει γοῦν ὁ νόμος· οὐκ ἐπιθυμήσεις τὴν
γυναῖκα τοῦ πλησίον σου οὐδὲ ὅσα τῷ
πλησίον σου ἐστίν.
6 καίτοι ὅτε μὴ ἐπιθυμεῖν ἡμᾶς εἴρηκεν ὁ
νόμος, πολὺ πλέον πείσαιμ' ἂν ὑμᾶς ὅτι τῶν
ἐπιθυμιῶν κρατεῖν δύναται ὁ λογισμός.
¨Ωσπερ καὶ τῶν κωλυτικῶν τῆς δικαιοσύνης
παθῶν·
7 ἐπεὶ τίνα τρόπον μονοφάγος τις ὢν τὸ
ἦθος καὶ γαστρίμαργος καὶ μέθυσος
μεταπαιδεύεται, εἰ μὴ δῆλον ὅτι κύριός ἐστι
τῶν παθῶν ὁ λογισμός;
8 αὐτίκα γοῦν τῷ νόμῳ πολιτευόμενος, κἂν
φιλάργυρός τις ᾖ, βιάζεται τὸν ἑαυτοῦ
τρόπον τοῖς δεομένοις δανείζων χωρὶς
τόκων, καὶ τὸ δάνειον τῶν ἑβδομάδων
ἐνστασῶν χρεοκοπούμενος.
9 κἂν φειδωλός τις ᾖ, ὑπὸ τοῦ νόμου
κρατεῖται διὰ τὸν λογισμὸν μήτε
ἐπικαρπολογούμενος τοὺς ἀμητοὺς μήτε

ἐπιρρωγολογούμενος τοὺς ἀμπελῶνας. Καὶ
ἐπὶ τῶν ἑτέρων ἔστιν ἐπιγνῶναι τοῦτο, ὅτι
τῶν παθῶν ἐστιν ὁ λογισμὸς κρατῶν.
10 ὁ γὰρ νόμος καὶ τῆς πρὸς γονεῖς εὐνοίας
κρατεῖ μὴ καταπροδιδοὺς τὴν ἀρετὴν δι'
αὐτοὺς
11 καὶ τῆς πρὸς γαμετὴν φιλίας ἐπικρατεῖ
διὰ παρανομίαν αὐτὴν ἀπελέγχων.
12 καὶ τῆς τέκνων φιλίας κυριεύει διὰ
κακίαν αὐτὰ κολάζων καὶ τῆς φίλων
συνηθείας δεσπόζει διὰ πονηρίαν αὐτοὺς
ἐξελέγχων.
13 καὶ μὴ νομίσητε παράδοξον εἶναι, ὅπου
γε καὶ ἔχθρας ὁ λογισμὸς ἐπικρατεῖν δύναται
διὰ τὸν νόμον,
14 μήτε δενδροτομῶν τὰ ἥμερα τῶν
πολεμίων φυτά, τὰ δὲ τῶν ἐχθρῶν τοῖς
ἀπολέσασι διασώζων καὶ τὰ πεπτωκότα
συνεγείρων.
15 Καὶ τῶν βιαιοτέρων δὲ παθῶν ἐπικρατεῖν
ὁ λογισμὸς φαίνεται, φιλαρχίας καὶ
κενοδοξίας καὶ ἀλαζονείας καὶ μεγαλαυχίας
καὶ βασκανίας.
16 πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ
σώφρων νοῦς εἰς ἀγαθὸν προτρέπων
ἀπωθεῖται καὶ βιάζεται, ὥσπερ καὶ τὸν
θυμόν· καὶ γὰρ τούτου δεσπόζει.
17 θυμούμενός γέ τοι Μωσῆς κατὰ Δαθὰν
καὶ Ἀβειρὼν οὐ θυμῷ τι κατ' αὐτῶν ἐποίησεν,
ἀλλὰ λογισμῷ τὸν θυμὸν διῃ£τησεν.
18 δυνατὸς γὰρ ὁ σώφρων νοῦς, ὡς ἔφην,
κατὰ τῶν παθῶν ἀριστεῦσαι καὶ τὰ μὲν

αὐτῶν μεταθεῖναι, τὰ δὲ καὶ ἀκυρῶσαι.
19 ἐπεὶ διατί ὁ πάνσοφος ἡμῶν πατὴρ Ἰακὼβ
τοὺς περὶ Συμεὼν καὶ Λευΐν αἰτιᾶται, μὴ
λογισμῷ τοὺς Σικιμίτας ἐθνηδὸν
ἀποσφάξαντας λέγων· ἐπικατάρατος ὁ θυμὸς
αὐτῶν;
20 εἰ μὴ γὰρ ἐδύνατο τοῦ θυμοῦ ὁ λογισμὸς
κρατεῖν, οὐκ ἂν εἶπεν οὕτως.
21 ὁπηνίκα γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον
κατεσκεύασε, τὰ πάθη αὐτοῦ καὶ τὰ ἤθη
περιεφύτευσεν.
22 ἡνίκα δὲ ἐπὶ πάντων τὸν ἱερὸν ἡγεμόνα
νοῦν διὰ τῶν ἔνδον αἰσθητηρίων ἐνεθρόνισε,
23 καί τούτῳ νόμον ἔδωκε, καθ' ὃν
πολιτευόμενος βασιλεύσει βασιλείαν
σώφρονά τε καὶ δικαίαν καὶ ἀγαθὴν καὶ
ἀνδρείαν.
24 Πῶς οὖν, εἴποι τις ἄν, εἰ τῶν παθῶν ὁ
λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ
κρατεῖ;

# 3

1 Εστι δέ κομιδῆ γελοῖος ὁ λόγος· οὐ γὰρ
τῶν ἑαυτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖν
φαίνεται, ἀλλὰ τῶν σωματικῶν.
2 οἷον ἐπιθυμίαν τις οὐ δύναται ἐκκόψαι
ἡμῶν, ἀλλὰ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ
δύναται ὁ λογισμὸς παρασχέσθαι.
3 θυμόν τις οὐ δύναται ἐκκόψαι ἡμῶν τῆς
ψυχῆς, ἀλλὰ τῷ θυμῷ δυνατὸν τὸν λογισμὸν
βοηθῆσαι.

4 κακοήθειάν τις ἡμῶν οὐ δύναται ἐκκόψαι,
ἀλλὰ τὸ μὴ καμφθῆναι τῇ κακοηθείᾳ δύναιτ'
ἂν ὁ λογισμὸς συμμαχῆσαι.
5 οὐ γὰρ ἐκριζωτὴς τῶν παθῶν ὁ λογισμός
ἐστιν, ἀλλ' ἀνταγωνιστής.
6 ἔστι γοῦν τοῦτο διὰ τῆς Δαυὶδ τοῦ
βασιλέως δίψης σαφέστερον ἐπιλογίσασθαι.
7 ἐπεὶ γὰρ δι' ὅλης ἡμέρας προσβαλὼν τοῖς
ἀλλοφύλοις ὁ Δαυὶδ πολλοὺς αὐτῶν
ἀπέκτεινε μετὰ τῶν τοῦ ἔθνους στρατιωτῶν,
8 τότε δὲ γενομένης ἑσπέρας, ἱδρῶν καὶ
σφόδρα κεκμηκώς, ἐπὶ τὴν βασίλειον σκηνὴν
ἦλθε, περὶ ἣν ὁ πᾶς τῶν προγόνων στρατὸς
ἐστρατοπεδεύκει.
9 οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὸ δεῖπνον
ἦσαν,
10 ὁ δὲ βασιλεὺς ὡς μάλιστα διψῶν, καίπερ
ἀφθόνους ἔχων πηγάς, οὐκ ἠδύνατο δι' αὐτῶν
ἰάσασθαι τὴν δίψαν,
11 ἀλλά τις αὐτῶν ἀλόγιστος ἐπιθυμία τοῦ
παρὰ τοῖς πολεμίοις ὕδατος ἐπιτείνουσα
συνέφρυγε καὶ λύουσα κατέφλεγεν.
12 ὅθεν τῶν ὑπασπιστῶν ἐπὶ τῇ τοῦ
βασιλέως ἐπιθυμίᾳ σχετλιαζόντων, δύο
νεανίσκοι στρατιῶται καρτεροὶ
καταιδεσθέντες τὴν τοῦ βασιλέως ἐπιθυμίαν,
τὰς παντευχίας καθωπλίσαντο καὶ κάλπην
λαβόντες ὑπερέβησαν τοὺς τῶν πολεμίων
χάρακας,
13 καὶ λαθόντες τοὺς τῶν πυλῶν
ἀκροφύλακας, διεξῄεσαν ἀνερευνώμενοι

κατὰ πᾶν τὸ τῶν πολεμίων στρατόπεδον.
14 καὶ ἀνευράμενοι τὴν πηγήν, ἐξ αὐτῆς
θαρραλέως ἐγέμισαν τῷ βασιλεῖ τὸ ποτόν.
15 ὁ δὲ καίπερ τῷ δίψει διαπυρούμενος,
ἐλογίσατο πάνδεινον εἶναι κίνδυνον τῇ ψυχῇ
λογισθὲν ἰσοδύναμον ποτὸν αἵματι·
16 ὅθεν ἀντιθεὶς τῇ ἐπιθυμίᾳ τὸν λογισμὸν
ἔσπεισε τὸ πόμα τῷ Θεῷ,
17 δυνατὸς γὰρ ὁ σώφρων νοῦς, ὡς ἔφην,
νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας
18 καὶ σβέσαι τὰς τῶν οἴστρων φλεγμονὰς
καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας καθ'
ὑπερβολὴν οὔσας καταπαλαῖσαι καὶ τῇ
καλοκαγαθίᾳ τοῦ λογισμοῦ ἀποπτύσαι
πάσας τὰς τῶν παθῶν ἐπικρατείας.
19 Ἤδη δὲ καὶ ὁ καιρὸς ἡμᾶς καλεῖ ἐπὶ τὴν
ἀπόδειξιν τῆς θεωρίας τοῦ σώφρονος
λογισμοῦ.
20 Ἐπειδὴ γὰρ βαθεῖαν εἰρήνην διὰ τὴν
εὐνομίαν οἱ πατέρες ἡμῶν εἶχον καὶ
ἔπραττον καλῶς, ὥστε καὶ τὸν τῆς Ἀσίας
βασιλέα Σέλευκον καὶ τὸν Νικάνορα καὶ
χρήματα εἰς τὴν ἱερουργίαν αὐτοῖς ἀφορίσαι
καὶ τὴν πολιτείαν αὐτῶν ἀποδέχεσθαι,
21 τότε δή τινες πρὸς τὴν κοινὴν
νεωτερίσαντες ὁμόνοιαν πολυτρόποις
ἐχρήσαντο συμφοραῖς.

## 4

1 Σίμων γάρ τις πρὸς Ὀνίαν
ἀντιπολιτευόμενος τόν ποτε τὴν
ἀρχιερωσύνην ἔχοντα διά βίου, καλὸν καὶ

ἀγαθὸν ἄνδρα, ἐπειδὴ πάντα τρόπον
διαβάλλων ὑπὲρ τοῦ ἔθνους οὐκ ἴσχυσε
κακῶσαι, φυγὰς ᾤχετο τὴν πατρίδα
προδώσων.
2 ὅθεν ἥκων πρὸς Ἀπολλώνιον, τὸν Συρίας
τε καὶ Φοινίκης καὶ Κιλικίας στρατηγόν,
ἔλεγεν· εὔνους ὢν τοῖς τοῦ βασιλέως
πράγμασιν ἥκω
3 μηνύσων πολλὰς ἰδιωτικῶν χρημάτων
μυριάδας ἐν τοῖς Ἱεροσολύμων
γαζοφυλακίοις τεθησαυρίσθαι τοῖς ἱεροῖς μὴ
ἐπικοινωνούσας, καὶ προσήκειν ταῦτα
Σελεύκῳ τῷ βασιλεῖ.
4 τούτων δὲ ἕκαστα γνοὺς ὁ Ἀπολλώνιος,
τὸν μὲν Σίμωνα τῆς εἰς τὸν βασιλέα
κηδεμονίας ἐπαινεῖ, πρὸς δὲ τὸν Σέλευκον
ἀναβὰς κατεμήνυσε τὸν τῶν χρημάτων
θησαυρόν.
5 καὶ λαβὼν τὴν περὶ αὐτὸν ἐξουσίαν ταχὺ
εἰς τὴν πατρίδα ἡμῶν μετὰ τοῦ καταράτου
Σίμωνος καὶ βαρυτάτου στρατοῦ ἀνέβη
6 καὶ προσελθὼν ταῖς τοῦ βασιλέως
ἐντολαῖς ἥκειν ἔλεγεν, ὅπως τὰ ἰδιωτικὰ τοῦ
γαζοφυλακίου λάβοι χρήματα.
7 καὶ τοῦ ἔθνους πρὸς τὸν λόγον
σχετλιάζοντος ἀντιλέγοντός τε, πάνδεινον
εἶναι νομίσαντες, εἰ οἱ τὰς παρακαταθήκας
πιστεύσαντες τῷ ἱερῷ θησαυρῷ
στερηθήσονται, ὡς οἷόν τε ἦν, ἐκώλυον.
8 μετὰ ἀπειλῶν δὲ ὁ Ἀπολλώνιος ἀπῄει εἰς
τὸ ἱερόν.

9 τῶν δέ ἱερέων μετά γυναικῶν καὶ παιδίων
ἐν τῷ ἱερῷ ἱκετευσάντων τὸν Θεὸν
ὑπερασπίσαι τοῦ ἱεροῦ καταφρονουμένου
τόπου
10 ἀνιόντος τε μετά καθωπλισμένης τῆς
στρατιᾶς τοῦ Ἀπολλωνίου πρὸς τὴν τῶν
χρημάτων ἁρπαγήν, οὐρανόθεν ἔφιπποι
προὐφάνησαν ἄγγελοι περιαστράπτοντες
τοῖς ὅπλοις καὶ πολὺν αὐτοῖς φόβον τε καὶ
τρόμον ἐνιέντες.
11 καταπεσών γέ τοι ἡμιθανὴς ὁ
Ἀπολλώνιος ἐπὶ τὸν πάμφυλον τοῦ ἱεροῦ
περίβολον τὰς χεῖρας ἐξέτεινεν εἰς τὸν
οὐρανόν, καὶ μετὰ δακρύων τοὺς Ἑβραίους
παρεκάλει, ὅπως περί αὐτοῦ εὐξάμενοι τὸν
ἐπουράνιον ἐξευμενίσωνται στρατόν.
12 ἔλεγε γὰρ ἡμαρτηκὼς ὥστε καὶ
ἀποθανεῖν ἄξιος ὑπάρχειν πᾶσί τε
ἀνθρώποις ὑμνήσειν σωθεὶς τὴν τοῦ ἱεροῦ
τόπου μακαριότητα.
13 τούτοις ὑπαχθεὶς τοῖς λόγοις Ὀνίας ὁ
ἀρχιερεύς, καίπερ ἄλλως εὐλαβηθείς, μήποτε
νομίσειεν ὁ βασιλεὺς Σέλευκος ἐξ
ἀνθρωπίνης ἐπιβουλῆς καὶ μὴ θείας δίκης
ἀνῃρῆσθαι τὸν Ἀπολλώνιον, ηὔξατο περὶ
αὐτοῦ.
14 καὶ ὁ μὲν παραδόξως διασωθεὶς ᾤχετο
δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα αὐτῷ.
15 Τελευτήσαντος δὲ Σελεύκου τοῦ
βασιλέως διαδέχεται τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ
Ἀντίοχος Ἐπιφανής, ἀνὴρ ὑπερήφανος καὶ
δεινός,

16 ὃς καταλύσας τὸν Ὀνίαν τῆς
ἀρχιερωσύνης, Ἰάσονα τὸν ἀδελφὸν αὐτοῦ
κατέστησεν ἀρχιερέα, συνθέμενον δώσειν,
17 εἰ ἐπιτρέψειεν αὐτῷ τὴν ἀρχήν, κατ'
ἐνιαυτὸν τρισχίλια ἑξακόσια ἑξήκοντα
τάλαντα.
18 ὁ δὲ ἐπέτρεψεν αὐτῷ καὶ ἀρχιερᾶσθαι
καὶ τοῦ ἔθνους ἀφηγεῖσθαι.
19 ὃς καὶ ἐξεδιῃ£τησε τῶν Ἰουδαίων τὸ
ἔθνος καὶ ἐξεπολίτευσεν ἐπὶ πᾶσαν
παρανομίαν
20 ὥστε μὴ μόνον ἐπ' αὐτῇ τῇ ἄκρᾳ τῆς
πατρίδος ἡμῶν γυμνάσιον κατασκευάσαι,
ἀλλὰ καὶ καταλῦσαι τὴν τοῦ ἱεροῦ
κηδεμονίαν.
21 ἐφ' οἷς ἀγανακτήσασα ἡ θεία δίκη αὐτὸν
αὐτοῖς τὸν Ἀντίοχον ἐπολέμωσεν.
22 ἐπειδὴ γὰρ πολεμῶν ἦν κατ' Αἴγυπτον
Πτολεμαίῳ, ἤκουσέ τε ὅτι φήμης διαδοθείσης
περὶ τοῦ τεθνᾶναι αὐτόν, ὡς ἔνι μάλιστα
χαίροιεν οἱ Ἱεροσολυμῖται, ταχέως ἐπ'
αὐτοὺς ἀνέζευξεν,
23 καὶ ὡς ἐπόρθησεν αὐτούς, δόγμα ἔθετο
ὅπως, εἴ τινες αὐτῶν φάνοιεν τῷ πατρίῳ
πολιτευόμενοι νόμῳ, θάνοιεν.
24 καὶ ἐπεὶ κατὰ μηδένα τρόπον ἴσχυε
καταλῦσαι διὰ τῶν δογμάτων τὴν τοῦ ἔθνους
εὔνοιαν,
25 ἀλλὰ πάσας τὰς ἑαυτοῦ ἀπειλὰς καὶ
τιμωρίας ἑώρα καταλυομένας, ὥστε καὶ
γυναῖκας, ὅτι περιέτεμον τὰ παιδία, μετὰ τῶν
βρεφῶν κατακρημνισθῆναι προειδυίας ὅτι

τοῦτο πείσονται·
26 ἐπεὶ οὖν τὰ δόγματα αὐτοῦ κατεφρονεῖτο
ὑπὸ τοῦ λαοῦ, αὐτὸς διά βασάνων ἕνα
ἕκαστον τοῦ ἔθνους ἠνάγκαζε μιαρῶν
ἀπογευομένους τροφῶν ἐξόμνυσθαι τὸν
Ἰουδαϊσμόν.

# 5

1 Προκαθίσας γέ τοι μετὰ τῶν συνέδρων ὁ
τύραννος Ἀντίοχος ἐπί τινος ὑψηλοῦ τόπου
καὶ τῶν στρατευμάτων αὐτῷ ἐνόπλων
κυκλόθεν παρεστηκότων, παρεκέλευε τοῖς
δορυφόροις
2 ἕνα ἕκαστον τῶν Ἑβραίων ἐπισπᾶσθαι,
καὶ κρεῶν ὑείων καὶ εἰδωλοθύτων
ἀναγκάζειν ἀπογεύεσθαι·
3 εἰ δέ τινες μὴ θελήσειαν μιαροφαγῆσαι,
τούτους τροχισθέντας ἀναιρεθῆναι.
4 πολλῶν δὲ συναρπασθέντων εἷς πρῶτος
ἐκ τῆς ἀγέλης Ἑβραῖος ὀνόματι Ἐλεάζαρος,
τὸ γένος ἱερεύς, τὴν ἐπιστήμην νομικός, καὶ
τὴν ἡλικίαν προήκων καὶ πολλοῖς τῶν περὶ
τὸν τύραννον διὰ τὴν ἡλικίαν γνώριμος,
παρήχθη πλησίον αὐτοῦ.
5 Καὶ αὐτὸν ἰδὼν ὁ Ἀντίοχος ἔφη·
6 ἐγὼ πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ
βασάνων, ὦ πρεσβῦτα, συμβουλεύσαιμ' ἂν
σοι ταῦτα, ὅπως ἀπογευσάμενος τῶν ὑείων
σώζοιο· αἰδοῦμαι γάρ σου τὴν ἡλικίαν καὶ
τὴν πολιάν, ἣν μετὰ τοσοῦτον ἔχων χρόνον
οὐ μοι δοκεῖς φιλοσοφεῖν τῇ Ἰουδαίων
χρώμενος θρησκείᾳ.

7 διατί γὰρ τῆς φύσεως κεχαρισμένης
καλλίστην τὴν τοῦδε τοῦ ζώου σαρκοφαγίαν
βδελύττῃ;
8 καὶ γὰρ ἀνόητον τοῦτο δοκεῖ, τὸ μὴ
ἀπολαύειν τῶν χωρὶς ὀνείδους ἡδέων, καὶ
ἄδικον ἀποστρέφεσθαι τὰς τῆς φύσεως
χάριτας.
9 σὺ δέ μοι καὶ ἀνοητότερον ποιήσειν
δοκεῖς, εἰ κενοδοξῶν περὶ τὸ ἀληθὲς ἔτι
κἀμοῦ καταφρονήσεις ἐπὶ τῇ ἰδίᾳ τιμωρίᾳ.
10 οὐκ ἐξυπνώσεις ἀπὸ τῆς φλυάρου
φιλοσοφίας ὑμῶν
11 καὶ ἀποσκεδάσεις τῶν λογισμῶν σου τὸν
λῆρον καὶ ἄξιον τῆς ἡλικίας ἀναλαβὼν νοῦν
φιλοσοφήσεις τὴν τοῦ συμφέροντος ἀλήθειαν
12 καὶ προσκυνήσας μου τὴν φιλάνθρωπον
παρηγορίαν οἰκτειρήσεις τὸ σεαυτοῦ γῆρας;
13 καὶ γὰρ ἐνθυμήθητι, ὡς εἰ καί τίς ἐστι
τῆσδε τῆς ὑμῶν θρησκείας ἐποπτικὴ δύναμις,
συγγνωμονήσει ἄν σοι ἐπὶ πάσῃ τῇ δι'
ἀνάγκην γινομένῃ παρανομίᾳ.
14 Τοῦτον τὸν τρόπον ἐπὶ τὴν ἔκθεσμον
σαρκοφαγίαν ἐποτρύνοντος τοῦ τυράννου,
λόγον ᾔτησεν ὁ Ἐλεάζαρος
15 καὶ λαβὼν τοῦ λέγειν ἐξουσίαν ἤρξατο
δημηγορεῖν οὕτως·
16 ἡμεῖς, Ἀντίοχε, θείῳ πεπεισμένοι νόμῳ
πολιτεύεσθαι οὐδεμίαν ἀνάγκην βιαιοτέραν
εἶναι νομίζομεν τῆς πρὸς τὸν νόμον ἡμῶν
εὐπειθείας·
17 διὸ δὴ κατ' οὐδένα τρόπον παρανομεῖν

ἀξιοῦμεν.
18 καίτοι εἰ κατὰ ἀλήθειαν μὴ ἦν ὁ νόμος
ἡμῶν, ὡς σὺ ὑπολαμβάνεις, θεῖος, (ἄλλως δὲ
νομίζομεν αὐτὸν εἶναι θεῖον) οὐδὲ οὕτως
ἐξὸν ἡμῖν ἦν τὴν ἐπὶ τῇ εὐσεβείᾳ δόξαν
ἀκυρῶσαι.
19 μὴ μικρὰν οὖν εἶναι νομίσῃς ταύτην, εἰ
μιαροφαγήσαιμεν, ἁμαρτίαν·
20 τὸ γὰρ ἐν μικροῖς καὶ ἐν μεγάλοις
παρανομεῖν ἰσοδύναμόν ἐστιν,
21 δι' ἑκατέρου γὰρ ὡς ὁμοίως ὁ νόμος
ὑπερηφανεῖται.
22 χλευάζεις δὲ ἡμῶν τὴν φιλοσοφίαν,
ὥσπερ οὐ μετὰ εὐλογιστίας ἐν αὐτῇ
βιούντων·
23 σωφροσύνην τε γὰρ ἡμᾶς ἐκδιδάσκει
ὥστε πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν
κρατεῖν καὶ ἀνδρείαν ἐξασκεῖν, ὥστε πάντα
πόνον ἑκουσίως ὑπομένειν
24 καὶ δικαιοσύνην παιδεύει ὥστε διὰ
πάντων τῶν ἠθῶν ἰσονομεῖν καὶ εὐσέβειαν
ἐκδιδάσκει, ὥστε μόνον τὸν ὄντα Θεὸν
σέβειν μεγαλοπρεπῶς.
25 διὸ οὐ μιαροφαγοῦμεν· πιστεύοντες γὰρ
Θεοῦ καθεστάναι τὸν νόμον οἴδαμεν ὅτι
κατὰ φύσιν ἡμῖν συμπαθεῖ νομοθετῶν ὁ τοῦ
κόσμου κτίστης·
26 καὶ τὰ μὲν οἰκειωθησόμενα ἡμῶν ταῖς
ψυχαῖς ἐπέτρεψεν ἐσθίειν. τὰ δὲ
ἐναντιωθησόμενα ἐκώλυσε σαρκοφαγεῖν.
27 τυραννικὸν δὲ οὐ μόνον ἀναγκάζειν

ἡμᾶς παρανομεῖν, ἀλλὰ καὶ ἐσθίειν, ὅπως τῇ
ἐχθίστῃ ἡμῶν μιαροφαγίᾳ ταύτῃ ἔτι
ἐγγελάσῃς.
28 ἀλλ' οὐ γελάσεις κατ' ἐμοῦ τοῦτον τὸν
γέλωτα, οὔτε τοὺς ἱεροὺς τῶν προγόνων περὶ
τοῦ φυλάξαι τὸν νόμον ὅρκους οὐ παρήσω,
29 οὐδ' ἂν ἐκκόψειάς μου τὰ ὄμματα καὶ τὰ
σπλάγχνα μου τήξειας.
30 οὐχ οὕτως εἰμὶ γέρων ἐγὼ καὶ ἄνανδρος
ὥστε μοι διὰ τὴν εὐσέβειαν μὴ νεάζειν τὸν
λογισμόν.
31 πρὸς ταῦτα τροχοὺς εὐτρέπιζε καὶ τὸ πῦρ
ἐκφύσα σφοδρότερον.
32 οὐχ οὕτως οἰκτείρομαι τὸ ἐμαυτοῦ γῆρας
ὥστε με δι' ἐμαυτοῦ τὸν πάτριον καταλῦσαι
νόμον.
33 οὐ ψεύσομαί σε, παιδευτὰ νόμε, οὐδὲ
φεύξομαί σε οὐδ' ἐξομοῦμαί σε, φίλη
ἐγκράτεια,
34 οὐδὲ καταισχυνῶ σε, φιλόσοφε λόγε,
οὐδὲ ἐξαρνήσομαί σε, ἱερωσύνη τιμία καὶ
νομοθεσίας ἐπιστήμη·
35 οὐδὲ μιανεῖς μου τὸ σεμνὸν γήρως στόμα
οὐδὲ νομίμου βίου ἡλικίαν.
36 ἁγνὸν δέ με οἱ πατέρες προσδέξονται μὴ
φοβηθέντα σου τὰς μέχρι θανάτου ἀνάγκας.
37 ἀσεβῶν μὲν γὰρ τυραννήσεις, τῶν δὲ
ἐμῶν περὶ τῆς εὐσεβείας λογισμῶν οὔτε διὰ
λόγων δεσπόσεις οὔτε δι' ἔργων.

# 6

1 Τοῦτον τὸν τρόπον ἀντιρρητορεύσαντα

ταῖς τοῦ τυράννου παρηγορίαις,
παραστάντες οἱ δορυφόροι πικρῶς ἔσυραν
ἐπὶ τὰ βασανιστήρια τὸν Ἐλεάζαρον.
2 καὶ πρῶτον μὲν περιέδυσαν τὸν γηραιὸν
ἐγκοσμούμενον τῇ περὶ τὴν εὐσέβειαν
εὐσχημοσύνῃ·
3 ἔπειτα περιαγκωνίσαντες ἑκατέρωθεν
μάστιξι κατῃ£κιζον·
4 πείσθητι ταῖς τοῦ βασιλέως ἐντολαῖς,
ἑτέρωθεν κήρυκος ἐπιβοῶντος.
5 ὁ δὲ μεγαλόφρων καὶ εὐγενὴς ὡς ἀληθῶς
Ἐλεάζαρος, ὥσπερ ἐν ὀνείρῳ βασανιζόμενος
κατ' οὐδένα τρόπον μετετρέπετο,
6 ἀλλὰ ὑψηλοὺς ἀνατείνας εἰς τὸν οὐρανὸν
τοὺς ὀφθαλμοὺς ἀπεξαίνετο ταῖς μάστιξι τὰς
σάρκας ὁ γέρων καὶ κατερρεῖτο τῷ αἵματι
7 καὶ τὰ πλευρὰ κατετιτρώσκετο, καὶ
πίπτων εἰς τὸ ἔδαφος ἀπὸ τοῦ μηκέτι φέρειν
τὸ σῶμα τὰς ἀλγηδόνας, ὀρθὸν εἶχε καὶ
ἀκλινῆ τὸν λογισμόν.
8 Λὰξ γέ τοι τῶν πικρῶν τις δορυφόρων εἰς
τοὺς κενεῶνας ἐναλλόμενος ἔτυπτεν, ὅπως
ἐξανίσταιτο πίπτων.
9 ὁ δὲ ὑπέμεινε τοὺς πόνους καὶ
περιεφρόνει τῆς ἀνάγκης
10 καὶ διεκαρτέρει τοὺς αἰκισμούς, καὶ
καθάπερ γενναῖος ἀθλητὴς τυπτόμενος ἐνίκα
τοὺς βασανίζοντας ὁ γέρων·
11 ἱδρῶν γέ τοι τὸ πρόσωπον καὶ
ἐπασθμαίνων σφοδρῶς καὶ ὑπ' αὐτῶν τῶν
βασανιζόντων ἐθαυμάζετο ἐπὶ τῇ εὐψυχίᾳ.

12 ῞Οθεν τὰ μὲν ἐλεοῦντες τὰ τοῦ γήρως
αὐτοῦ,
13 τὰ δὲ ἐν συμπαθείᾳ τῆς συνηθείας ὄντες,
τὰ δὲ ἐν θαυμασμῷ τῆς καρτερίας προσιόντες
αὐτῷ τινὲς τῶν τοῦ βασιλέως ἔλεγον·
14 τί τοῖς κακοῖς τούτοις σεαυτὸν
ἀλογίστως ἀπόλεις, Ἐλεάζαρε;
15 ἡμεῖς μέν τοι τῶν ὑψημένων σοι
βρωμάτων παραθήσομεν, σὺ δὲ
ὑποκρινόμενος τῶν ὑείων ἀπογεύεσθαι,
σώθητι.
16 Καὶ ὁ Ἐλεάζαρος, ὥσπερ πικρότερον διὰ
τῆς συμβουλίας αἰκισθείς, ἀνεβόησε·
17 μὴ οὕτως κακῶς φρονήσαιμεν οἱ Ἀβραὰμ
παῖδες ὥστε μαλακοψυχήσαντας ἀπρεπὲς
ἡμῖν δρᾶμα ὑποκρίνασθαι.
18 καὶ γὰρ ἀλόγιστον, εἰ πρὸς ἀλήθειαν
ζήσαντες τὸν μέχρι γήρως βίον καὶ τὴν ἐπ'
αὐτῷ δόξαν νομίμως φυλάξαντες,
19 νῦν μεταβαλοίμεθα καὶ αὐτοὶ μὲν ἡμεῖς
γενοίμεθα τοῖς νέοις ἀσεβείας τύπος, ἵνα
παράδειγμα γενώμεθα τῆς μιαροφαγίας.
20 αἰσχρὸν δὲ εἰ ἐπιβιώσωμεν ὀλίγον
χρόνον καὶ τοῦτον καταγελώμενοι πρὸς
ἁπάντων ἐπὶ δειλίᾳ,
21 καὶ ὑπὸ μὲν τοῦ τυράννου
καταφρονηθῶμεν ὡς ἄνανδροι, τὸν δὲ θεῖον
ἡμῶν νόμον μέχρι θανάτου μὴ
προασπίσαιμεν.
22 πρός ταῦτα ὑμεῖς μέν, ὦ Ἀβραὰμ παῖδες,
εὐγενῶς ὑπὲρ τῆς εὐσεβείας τελευτᾶτε.

23 οἱ δὲ τοῦ τυράννου δορυφόροι, τί
μέλλετε;
24 Πρὸς τὰς ἀνάγκας οὕτως
μεγαλοφρονοῦντα αὐτὸν ἰδόντες καὶ μηδὲ
πρὸς τὸν οἰκτριρμὸν αὐτῶν μεταβαλλόμενον
ἐπὶ τὸ πῦρ αὐτὸν ἤγαγον.
25 ἔνθα διὰ κακοτέχνων ὀργάνων
καταφλέγοντες αὐτὸν ὑπέρριπτον καὶ
δυσώδεις χυλοὺς εἰς τοὺς μυκτῆρας αὐτοῦ
κατέχεον.
26 ὁ δὲ μέχρι τῶν ὀστέων ἤδη
κατακεκαυμένος καὶ μέλλων λιποθυμεῖν
ἀνέτεινε τά ὄμματα πρὸς τὸν Θεὸν καὶ εἶπεν·
27 σὺ οἶσθα, Θεέ, παρόν μοι σῴζεσθαι,
βασάνοις καυστικαῖς ἀποθνήσκω διὰ τὸν
νόμον.
28 τοιγαροῦν ἵλεως γενοῦ τῷ ἔθνει σου
ἀρκεσθεὶς τῇ ἡμετέρᾳ ὑπὲρ αὐτῶν δίκῃ.
29 καθάρσιον αὐτῶν ποίησον τὸ ἐμὸν αἷμα
καὶ ἀντίψυχον αὐτῶν λαβὲ τὴν ἐμὴν ψυχήν.
30 καὶ ταῦτα εἰπὼν ὁ ἱερὸς ἀνὴρ εὐγενῶς
ταῖς βασάνοις ἐναπέθανε
31 καὶ μέχρι τῶν τοῦ θανάτου βασάνων
ἀντέστη τῷ λογισμῷ διὰ τὸν νόμον.
Ὁμολογουμένως οὖν δεσπότης ἐστὶ τῶν
παθῶν ὁ εὐσεβὴς λογισμός.
32 εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ κεκρατήκει,
τούτοις ἂν ἀπέδομεν τὴν τῆς ἐπικρατείας
μαρτυρίαν·
33 νυνὶ δὲ τοῦ λογισμοῦ τὰ πάθη
νικήσαντος, αὐτῷ προσηκόντως τὴν τῆς

ἡγεμονίας προσνέμομεν ἐξουσίαν.
34 καὶ δίκαιόν ἐστιν ὁμολογεῖν ἡμᾶς τὸ
κράτος εἶναι τοῦ λογισμοῦ. ὅπου γε καὶ τῶν
ἔξωθεν ἀλγηδόνων ἐπικρατεῖ,
35 ἐπεὶ καὶ γελοῖον· καὶ οὐ μόνον τῶν
ἀλγηδόνων ἐπιδείκνυμι κεκρατηκέναι τὸν
λογισμόν, ἀλλὰ καὶ τῶν ἡδονῶν κρατεῖν, καὶ
μηδὲν αὐταῖς ὑπείκειν.

# 7

1 Ωσπερ γὰρ ἄριστος κυβερνήτης ὁ τοῦ
πατρὸς ἡμῶν Ἐλεαζάρου λογισμὸς
πηδαλιουχῶν τὴν τῆς εὐσεβείας ναῦν ἐν τῷ
τῶν παθῶν πελάγει
2 καὶ καταικιζόμενος ταῖς τοῦ τυράννου
ἀπειλαῖς καὶ καταντλούμενος ταῖς τῶν
βασάνων τρικυμίαις,
3 κατ' οὐδένα τρόπον μετέτρεψε τοὺς τῆς
εὐσεβείας οἴακας, ἕως οὗ ἔπλευσεν ἐπὶ τὸν
τῆς ἀθανάτου νίκης λιμένα.
4 οὐχ οὕτως πόλις πολλοῖς καὶ ποικίλοις
μηχανήμασιν ἀντέσχε ποτὲ πολιορκουμένη,
ὡς ὁ πανάγιος Ἐλεάζαρος· τὴν ἱερὰν ψυχὴν
αἰκισμοῖς τε καὶ στρέβλαις πυρπολούμενος
ἐνίκησε τοὺς πολιορκοῦντας διὰ τὸν
ὑπερασπίζοντα τῆς εὐσεβείας λογισμόν.
5 ὥσπερ γὰρ πρόκρημνον ἄκραν τὴν ἑαυτοῦ
διάνοιαν ὁ πατὴρ Ἐλεάζαρος ἐκτείνας,
περιέκλασεν τοὺς ἐπιμαινομένους τῶν
παθῶν κλύδωνας.
6 ὦ ἄξιε τῆς ἱερωσύνης ἱερεῦ, οὐκ ἐμίανας
τοὺς ἱεροὺς ὀδόντας οὐδὲ τὴν θεοσέβειαν καὶ

καθαρισμὸν νόμιμον χωρήσασαν γαστέρα
ἐκοινώνησας μιαροφαγίᾳ.

7 ὦ σύμφωνε νόμου καὶ φιλόσοφε θείου
βίου.

8 τοιούτους δὴ δεῖ εἶναι τοὺς ἱερουργοῦντας
τὸν νόμον ἰδίῳ αἵματι καὶ γενναίῳ ἱδρῶτι
τοῖς μέχρι θανάτου πάθεσιν ὑπερασπίζοντας.
9 σὺ πάτερ, τὴν εὐνομίαν ἡμῶν διὰ τῶν
ὑπομονῶν εἰς δόξαν ἐκύρωσας καὶ τὴν
ἁγιστείαν σεμνολογήσας οὐ κατέλυσας καὶ
διὰ τῶν ἔργων ἐπιστοποίησας τοὺς τῆς θείας
φιλοσοφίας λόγους,
10 ὦ βασάνων βιαιότερε γέρον, καὶ πυρὸς
εὐτονώτερε πρεσβῦτα, καὶ παθῶν μέγιστε
βασιλεῦ Ἐλεάζαρε.
11 ὥσπερ γὰρ ὁ πατὴρ Ἀαρὼν τῷ θυμιατηρίῳ
καθωπλισμένος διὰ τοῦ ἐθνοπλήθους
ἐπιτρέχων τὸν ἐμπυριστὴν ἐνίκησεν ἄγγελον,
12 οὕτως ὁ Ἀαρωνίδης Ἐλεάζαρος διὰ τοῦ
πυρὸς ὑπερτηκόμενος οὐ μετετράπη τὸν
λογισμόν.
13 καίτοι τὸ θαυμασιώτατον, γέρων ὤν,
λελυμένων μὲν ἤδη τῶν τοῦ σώματος τόνων,
περικεχαλασμένων δὲ τῶν σαρκῶν,
κεκμηκότων δὲ καὶ τῶν νεύρων, ἀνενέασε
14 τῷ πνεύματι διὰ τοῦ λογισμοῦ καὶ τῷ
ἰσακίῳ λογισμῷ τὴν πολυκέφαλον στρέβλαν
ἠκύρωσεν.
15 ὦ μακαρίου γήρως καὶ σεμνῆς πολιᾶς καὶ
βίου νομίμου, ὃν πιστὴ θανάτου σφραγὶς
ἐτελείωσεν.

16 εἰ δέ τοίνυν γέρων ἀνὴρ τῶν μέχρι
θανάτου βασάνων περιεφρόνησε δι'
εὐσέβειαν, ὁμολογουμένως ἡγεμών ἐστι τῶν
παθῶν ὁ εὐσεβὴς λογισμός.
17 Ἴσως δ' ἂν εἴποιέν τινες· τῶν παθῶν οὐ
πάντες περικρατοῦσιν, ὅτι οὐδὲ πάντες
φρόνιμον ἔχουσι τὸν λογισμόν.
18 ἀλλ' ὅσοι εὐσεβείας προνοοῦσιν ἐξ ὅλης
καρδίας, οὗτοι μόνοι δύνανται κρατεῖν τῶν
τῆς σαρκὸς παθῶν,
19 πιστεύοντες, ὅτι Θεῷ οὐκ
ἀποθνήσκουσιν, ὥσπερ οὐδὲ οἱ πατριάρχαι
ἡμῶν Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, ἀλλὰ ζῶσι τῷ
Θεῷ.
20 οὐδὲν οὖν ἐναντιοῦται τὸ φαίνεσθαί
τινας παθοκρατεῖσθαι διὰ τὸν ἀσθενῆ
λογισμόν.
21 ἐπεὶ τίς πρὸς ὅλον τὸν τῆς φιλοσοφίας
κανόνα εὐσεβῶς φιλοσοφῶν
22 καὶ πεπιστευκὼς Θεῷ καὶ εἰδὼς ὅτι τὸ
διὰ τὴν ἀρετὴν πάντα πόνον ὑπομένειν
μακάριόν ἐστιν, οὐκ ἂν περικρατήσειεν τῶν
παθῶν διὰ τὴν θεοσέβειαν;
23 μόνος γὰρ ὁ σοφὸς καὶ σώφρων ἀνδρεῖός
ἐστι τῶν παθῶν κύριος.

# 8

1 Διὰ τοῦτό γέ τοι καὶ μειρακίσκοι τῷ τῆς
εὐσεβείας λογισμῷ φιλοσοφοῦντες
χαλεπωτέρων βασανιστηρίων ἐπεκράτησαν.
2 ἐπειδὴ γὰρ κατά τὴν πρώτην πεῖραν
ἐνικήθη περιφανῶς ὁ τύραννος μὴ δυνηθεὶς

ἀναγκάσαι γέροντα μιαροφαγῆσαι, τότε δὴ
σφόδρα περιπαθῶς ἐκέλευσεν ἄλλους ἐκ τῆς
ἡλικίας τῶν Ἑβραίων ἀγαγεῖν, καὶ εἰ μὲν
μιαροφαγήσαιεν, ἀπολύειν φαγόντας, εἰ δὲ
ἀντιλέγοιεν, πικρότερον βασανίζειν.
3 ταῦτα διαταξαμένου τοῦ τυράννου,
παρῆσαν ἀγόμενοι μετὰ γηραιᾶς μητρὸς ἑπτὰ
ἀδελφοί, καλοί τε καὶ αἰδήμονες καὶ γενναῖοι
καὶ ἐν παντὶ χαρίεντες.
4 οὓς ἰδὼν ὁ τύραννος καθάπερ ἐν χορῷ
περιέχοντας μέσην τὴν μητέρα, ἥσθη ἐπ'
αὐτοῖς καὶ τῆς εὐπρεπείας ἐκπλαγεὶς καὶ τῆς
εὐγενείας, προσεμειδίασεν αὐτοῖς καὶ
πλησίον καλέσας ἔφη.
5 ὦ νεανίαι, φιλοφρόνως ἐγὼ καθ' ἑνὸς
ἑκάστου ὑμῶν θαυμάζω, τὸ κάλλος καὶ τὸ
πλῆθος τοσούτων ἀδελφῶν ὑπερτιμῶν, οὐ
μόνον συμβουλεύω μὴ μανῆναι τὴν αὐτὴν τῷ
προβασανισθέντι γέροντι μανίαν, ἀλλὰ καὶ
παρακαλῶ συνείξαντάς μου τῇ συμβουλίᾳ
τῆς ἐμῆς ἀπολαῦσαι φιλίας·
6 δυναίμην δ' ἂν ὥσπερ κολάζειν τοὺς
ἀπειθοῦντάς μου τοῖς ἐπιτάγμασιν, οὕτως
καὶ εὐεργετεῖν τοὺς εὐπειθοῦντάς μοι.
7 πεισθέντες οὖν μοι καὶ ἀρχὰς καὶ ἐπὶ τῶν
ἐμῶν πραγμάτων ἡγεμονίας λήψεσθε,
ἀρνησάμενοι τὸν πάτριον ὑμῶν τῆς
πολιτείας θεσμόν·
8 καὶ μεταλαβόντες ἑλληνικοῦ βίου καὶ
μεταδιαιτηθέντες ἐντρυφήσατε ταῖς νεότησιν
ὑμῶν·

9 ἐπεὶ ἐὰν ὀργίλως με διάθησθε διὰ τῆς
ἀπειθείας ὑμῶν, ἀναγκάσετέ με ἐπὶ δειναῖς
κολάσεσιν ἕνα ἕκαστον ὑμῶν διὰ τῶν
βασάνων ἀπολέσαι.

10 κατελεήσατε οὖν ἑαυτούς, οὓς καὶ ὁ
πολέμιος ἔγωγε καὶ τῆς ἡλικίας καὶ τῆς
εὐμορφίας οἰκτείρομαι.

11 οὐ διαλογιεῖσθε τοῦτο, ὅτι οὐδὲν ὑμῖν
ἀπειθήσασι πλὴν τοῦ μετὰ στρεβλῶν
ἀποθανεῖν ἀπόκειται;

12 Ταῦτα δὲ λέγων ἐκέλευσεν εἰς τὸ
ἔμπροσθεν προτεθεῖναι τὰ βασανιστήρια,
ὅπως καὶ διὰ τοῦ φόβου πείσειεν αὐτοὺς
μιαροφαγῆσαι.

13 ὡς δὲ τροχούς τε καὶ ἀρθρέμβολα,
στρεβλωτήριά τε καὶ τροχαντῆρας καὶ
καταπέλτας καὶ λέβητας, τήγανά τε καὶ
δακτυλήθρας καὶ χεῖρας σιδηρᾶς καὶ σφῆνας
καὶ τὰ ζώπυρα τοῦ πυρὸς οἱ δορυφόροι
προέθεσαν, ὑπολαβὼν ὁ τύραννος ἔφη·

14 μειράκια φοβήθητε, καὶ ἣν σέβεσθε δίκην,
ἵλεως ὑμῖν ἔσται δι' ἀνάγκην
παρανομήσασιν.

15 οἱ δὲ ἀκούσαντες ἐπαγωγὰ καὶ ὁρῶντες
δεινά, οὐ μόνον οὐκ ἐφοβήθησαν, ἀλλὰ καὶ
ἀντεφιλοσόφησαν τῷ τυράννῳ καὶ διὰ τῆς
εὐλογιστίας τὴν τυραννίδα αὐτοῦ
κατέλυσαν.

16 καί τοι λογισώμεθα· εἰ δειλόψυχοί τινες
ἦσαν καὶ ἄνανδροι ἐν αὐτοῖς, ποίοις ἂν
ἐχρήσαντο λόγοις; οὐχὶ τούτοις;

17 ὦ τάλανες ἡμεῖς καὶ λίαν ἀνόητοι·

βασιλέως ἡμᾶς παρακαλοῦντος καὶ ἐπὶ
εὐεργεσίᾳ φωνοῦντος, μὴ πεισθείημεν αὐτῷ,
18 εἰ βουλήμασι κενοῖς ἑαυτοὺς
εὐφραίνομεν καὶ θανατηφόρον ἀπείθειαν
τολμῶμεν;
19 οὐ φοβησόμεθα, ἄνδρες ἀδελφοί, τὰ
βασανιστήρια καὶ λογιούμεθα τὰς τῶν
βασάνων ἀπειλὰς καὶ φευξόμεθα τὴν
κενοδοξίαν ταύτην καὶ ὀλεθροφόρον
ἀλαζονείαν;
20 ἐλεήσωμεν τὰς ἑαυτῶν ἡλικίας καὶ
κατοικτείρωμεν τὸ τῆς μητρὸς γῆρας
21 καὶ ἐνθυμηθῶμεν ὅτι ἀπειθοῦντες
τεθνηξόμεθα.
22 συγγνώσεται δὲ ἡμῖν καὶ ἡ θεία δίκη δι'
ἀνάγκην τὸν βασιλέα φοβηθεῖσιν.
23 τί ἐξάγομεν ἑαυτοὺς τοῦ ἡδίστου βίου καὶ
ἐπιστεροῦμεν ἑαυτοὺς τοῦ γλυκέος κόσμου;
24 μὴ βιαζώμεθα τὴν ἀνάγκην μηδὲ
φιλοδοξήσωμεν ἐπὶ τῇ ἑαυτῶν στρέβλῃ.
25 οὐδὲ αὐτὸς ὁ νόμος ἀκουσίως ἡμᾶς
θανατοῖ φοβηθέντας τὰ βασανιστήρια.
26 πόθεν ἡμῖν ἡ τοσαύτη ἐντέτηκε φιλονικία
καὶ ἡ θανατηφόρος ἀρέσκει καρτερία, παρὸν
μετὰ ἀταραξίας ζῆν τῷ βασιλεῖ πεισθέντας;
27 ἀλλὰ τούτων οὐδὲν εἶπον οἱ νεανίαι
βασανίζεσθαι μέλλοντες οὐδὲ ἐνεθυμήθησαν.
28 ἦσαν γὰρ περίφρονες τῶν παθῶν καὶ
αὐτοκράτορες τῶν ἀλγηδόνων,
29 ὥστε ἅμα τῷ παύσασθαι τὸν τύραννον
συμβουλεύοντα αὐτοῖς τοῦ μιαροφαγῆσαι,
πάντες διὰ μιᾶς φωνῆς ὁμοῦ, ὥσπερ ἀπὸ τῆς

αὐτῆς ψυχῆς εἶπον πρὸς αὐτόν.

# 9

1 Τί μέλλεις, ὦ τύραννε; ἕτοιμοι γάρ ἐσμεν
ἀποθνήσκειν ἢ παραβαίνειν τὰς πατρίους
ἡμῶν ἐντολάς·
2 αἰσχυνόμεθα γὰρ τοὺς προγόνους ἡμῶν
εἰκότως, εἰ μὴ τῇ τοῦ νόμου εὐπειθείᾳ καὶ
συμβούλῳ Μωσῇ χρησαίμεθα.
3 σύμβουλε τύραννε παρανομίας, μὴ ἡμᾶς
μισῶν ὑπὲρ αὐτοὺς ἡμᾶς ἐλέει.
4 χαλεπώτερον γὰρ αὐτοῦ τοῦ θανάτου
νομίζομεν εἶναί σου τὸν ἐπὶ τῇ παρανόμῳ
σωτηρίᾳ ἡμῶν ἔλεον.
5 ἐκφοβεῖς δὲ ἡμᾶς τὸν διὰ τῶν βασάνων
ἡμῖν θάνατον ἀπειλῶν, ὥσπερ οὐχὶ πρὸ
βραχέος παρὰ Ἐλεαζάρου μαθών.
6 εἰ δ' οἱ γέροντες τῶν Ἑβραίων διὰ τὴν
εὐσέβειαν καὶ βασανισμοὺς ὑπομείναντες
εὐσέβησαν, ἀποθάνοιμεν ἂν δικαιότερον
ἡμεῖς οἱ νέοι, τὰς βασάνους τῶν σῶν
ἀναγκῶν ὑπεριδόντες, ἃς καὶ ὁ παιδευτὴς
ἡμῶν γέρων ἐνίκησε.
7 πείραζε τοιγαροῦν, τύραννε· καὶ τὰς ἡμῶν
ψυχὰς εἰ θανατώσεις διὰ τὴν εὐσέβειαν, μὴ
νομίσῃς ἡμᾶς βλάπτειν βασανίζων.
8 ἡμεῖς μὲν γὰρ διὰ τῆσδε τῆς κακοπαθείας
καὶ ὑπομονῆς τὰ τῆς ἀρετῆς ἆθλα ἕξομεν καὶ
ἐσόμεθα παρὰ Θεῷ, δι' ὃν καὶ πάσχομεν·

9 σὺ δὲ διὰ τὴν ἡμῶν μιαιφονίαν αὐτάρκη καρτερήσεις ὑπὸ τῆς θείας δίκης αἰώνιον βάσανον διὰ πυρός.
10 Ταῦτα αὐτῶν εἰπόντων, οὐ μόνον ὡς κατὰ ἀπειθούντων ἐχαλέπαινεν ὁ τύραννος, ἀλλ' ὡς καὶ κατὰ ἀχαρίστων ὠργίσθη.
11 ὅθεν τὸν πρεσβύτατον αὐτῶν κελευθέντες παρήγαγον οἱ ὑπασπισταὶ καὶ διαρρήξαντες τὸν χιτῶνα διέδησαν τὰς χεῖρας αὐτοῦ καὶ τοὺς βραχίονας ἱμᾶσιν ἑκατέρωθεν.
12 ὡς δὲ τύπτοντες ταῖς μάστιξιν ἐκοπίασαν μηδὲν ἀνύοντες, ἀνέβαλον αὐτὸν ἐπὶ τὸν τροχόν.
13 περὶ ὃν κατατεινόμενος ὁ εὐγενὴς νεανίας ἔξαρθρος ἐγίνετο.
14 καὶ κατὰ πᾶν μέλος κλώμενος ἐκακηγόρει λέγων·
15 τύραννε μιαρώτατε καὶ τῆς οὐρανίου δίκης ἐχθρὲ καὶ ὠμόφρον, οὐκ ἀνδροφονήσαντά με τοῦτον καταικίζεις τὸν τρόπον, οὐδὲ ἀσεβήσαντα, ἀλλὰ θείου νόμου προασπίζοντα.
16 καὶ τῶν δορυφόρων λεγόντων· ὁμολόγησον φαγεῖν, ὅπως ἀπαλλαγῇς τῶν βασάνων,
17 αὐτὸς εἶπεν αὐτοῖς· οὐχ οὕτως ἰσχυρὸς ὑμῶν ἐστιν ὁ τροχός, ὦ μιαροὶ διάκονοι, ὥστε μου τὸν λογισμὸν ἄγξαι· τέμνετέ μου τὰ μέλη καὶ πυροῦτε τὰς σάρκας καὶ στρεβλοῦτε τὰ ἄρθρα.

18 διὰ πασῶν γὰρ ὑμᾶς πείσω τῶν
βασάνων, ὅτι μόνοι παῖδες Ἑβραίων ὑπὲρ
ἀρετῆς εἰσιν ἀνίκητοι.
19 ταῦτα λέγοντι πῦρ ὑπέστρωσαν καὶ
διηρέθισαν τὸν τροχὸν
προσεπικατατείνοντες·
20 ἐμολύνετο δὲ πάντοθεν αἵματι ὁ τροχός,
καὶ ὁ σωρὸς τῆς ἀνθρακιᾶς τῆς τῶν ἰχώρων
ἐσβέννυτο σταλαγμοῖς, καὶ περὶ τοὺς ἄξονας
τοῦ ὀργάνου περιέρρεον αἱ σάρκες.
21 καὶ περιτετμημένον ἤδη ἔχων τὸ τῶν
ὀστέων πῆγμα ὁ μεγαλόφρων καὶ Ἀβραμιαῖος
νεανίας οὐκ ἐστέναξεν.
22 ἀλλ' ὥσπερ ἐν πυρὶ μετασχηματιζόμενος
εἰς ἀφθαρσίαν, ὑπέμεινεν εὐγενῶς τὰς
στρέβλας·
23 μιμήσασθέ με, ἀδελφοί, λέγων, μή μου
τὸν αἰῶνα λιποτακτήσητε μηδ' ἐξομόσησθέ
μου τὴν τῆς εὐψυχίας ἀδελφότητα· ἱερὰν καὶ
εὐγενῆ στρατείαν στρατεύσασθε ὑπὲρ τῆς
εὐσεβείας,
24 δι' ἧς ἵλεως ἡ δικαία καὶ πάτριος ἡμῶν
πρόνοια τῷ ἔθνει γενηθεῖσα τιμωρήσειεν τὸν
ἀλάστορα τύραννον·
25 καὶ ταῦτα εἰπὼν ὁ ἱεροπρεπὴς νεανίας
ἀπέρρηξε τὴν ψυχήν.
26 Θαυμασάντων δὲ πάντων τὴν
καρτεροψυχίαν αὐτοῦ, ἦγον οἱ δορυφόροι τὸν
καθ' ἡλικίαν τοῦ προτέρου δεύτερον καὶ
σιδηρᾶς ἐναρμοσάμενοι χεῖρας ὀξέσι τοῖς
ὄνυξιν ὀργάνῳ καὶ καταπέλτῃ προσέδησαν

αὐτόν.
27 ὡς δὲ εἰ φαγεῖν βούλοιτο πρὶν
βασανίζεσθαι πυνθανόμενοι τὴν εὐγενῆ
γνώμην ἤκουσαν,
28 ἀπὸ τῶν τενόντων ταῖς σιδηραῖς χερσὶν
ἐπισπασάμενοι μέχρι γε τῶν γενείων τὴν
σάρκα πᾶσαν καὶ τὴν τῆς κεφαλῆς δορὰν οἱ
παρδάλειοι θῆρες ἀπέσυραν.
29 ὁ δὲ ταύτην βαρέως τὴν ἀλγηδόνα
καρτερῶν ἔλεγεν· ὡς ἡδὺς πᾶς τρόπος
θανάτου διὰ τὴν πάτριον ἡμῶν εὐσέβειαν·
ἔφη τε πρὸς τὸν τύραννον·
30 οὐ δοκεῖς πάντων ὠμότατε τύραννε,
πλεῖον ἐμοῦ σε νῦν βασανίζεσθαι ὁρῶν σου
νικώμενον τὸν τῆς τυρανίδος ὑπερήφανον
λογισμὸν ὑπὸ τῆς διὰ τὴν εὐσέβειαν ἡμῶν
ὑπομονῆς;
31 ἐγὼ μὲν γὰρ ταῖς διὰ τὴν ἀρετὴν ἡδοναῖς
τὸν πόνον ἐπικουφίζομαι,
32 σὺ δὲ ἐν ταῖς τῆς ἀσεβείας ἀπειλαῖς
βασανίζῃ. οὐκ ἐκφεύξῃ δέ, μιαρώτατε
τύραννε, τὰς τῆς θείας ὀργῆς δίκας.

# 10

1 Καὶ τούτου τὸν ἀοίδιμον θάνατον
καρτερήσαντος, ὁ τρίτος ἤγετο
παρακαλούμενος πολλὰ ὑπὸ πολλῶν, ὅπως
ἀπογευσάμενος σῴζοιτο.
2 ὁ δὲ ἀναβοήσας ἔφη· ἢ ἀγνοεῖτε ὅτι ὁ
αὐτός με τοῖς ἀποθανοῦσιν ἔσπειρε πατήρ,
καὶ ἡ αὐτὴ μήτηρ ἐγέννησε, καὶ ἐπὶ τοῖς
αὐτοῖς ἀνετράφημεν δόγμασιν;

3 οὐκ ἐξόμνυμαι τὴν εὐγενῆ τῆς
ἀδελφότητός μου συγγένειαν.
4 πρὸς ταῦτα εἴ τι ἔχετε κολαστήριον
προσαγάγετε τῷ σώματί μου· τῆς γὰρ ψυχῆς
μου, οὐδ' ἂν θέλητε ἅψασθαι, δύνασθε.
5 οἱ δὲ πικρῶς ἐνέγκαντες τὴν παρρησίαν
τοῦ ἀνδρός, ἀρθρεμβόλοις ὀργάνοις τὰς
χεῖρας αὐτοῦ καὶ τοὺς πόδας ἐξήρθρουν καὶ
ἐξ ἁρμῶν ἀναμοχλεύοντες ἐξεμέλιζον,
6 καὶ τοὺς δακτύλους καὶ τοὺς βραχίονας
καὶ τὰ σκέλη καὶ τοὺς ἀγκῶνας περιέκλων.
7 καὶ κατὰ μηδένα τρόπον ἰσχύοντες αὐτὸν
ἄγξαι περισύραντες τό δέρμα σὺν ἄκραις
ταῖς τῶν δακτύλων κορυφαῖς ἀπεσκύθιζον·
καὶ εὐθέως ἦγον ἐπὶ τὸν τροχόν,
8 περὶ ὃν ἐκ σπονδύλων ἐκμελιζόμενος
ἑώρα τὰς ἑαυτοῦ σάρκας περιλακιζομένας
καὶ κατὰ σπλάγχνων σταγόνας αἵματος
ἀπορρεούσας.
9 μέλλων δὲ ἀποθνήσκειν ἔφη·
10 ἡμεῖς μέν, ὦ μιαρώτατε τύραννε, διὰ
παιδείαν καὶ ἀρετὴν Θεοῦ ταῦτα πάσχομεν·
11 σὺ δὲ διὰ τὴν ἀσέβειαν καὶ μιαιφονίαν
ἀκαταλύτους καρτερήσεις βασάνους.
12 Καὶ τούτου θανόντος ἀδελφοπρεπῶς, τὸν
τέταρτον ἐπεσπῶντο λέγοντες·
13 μὴ συμμανῇς καὶ σὺ τοῖς ἀδελφοῖς σου
τὴν αὐτὴν μανίαν, ἀλλὰ πεισθεὶς τῷ βασιλεῖ,
σῷζε σεαυτόν.
14 ὁ δὲ αὐτοῖς ἔφη· οὐχ οὕτως
καυστικώτερον ἔχετε κατ' ἐμοῦ τὸ πῦρ ὥστε

με δειλανδρῆσαι.
15 μὰ τὸν μακάριον τῶν ἀδελφῶν μου
θάνατον καὶ τὸν αἰώνιον τοῦ τυράννου
ὄλεθρον καὶ τὸν ἀΐδιον τῶν εὐσεβῶν βίον
οὐκ ἀρνήσομαι τὴν εὐγενῆ ἀδελφότητα.
16 ἐπινόει, τύραννε, βασάνους, ἵνα καὶ διὰ
τούτων μάθῃς, ὅτι ἀδελφός εἰμι τῶν
προβασανισθέντων.
17 ταῦτα ἀκούσας ὁ αἱμοβόρος καὶ φονώδης
καὶ παμμιαρώτατος Ἀντίοχος, ἐκέλευσε τὴν
γλῶτταν αὐτοῦ ἐκτεμεῖν.
18 ὁ δὲ ἔφη· κἂν ἀφέλῃς τὸ τῆς φωνῆς
ὄργανον, καὶ σιωπώντων ἀκούει ὁ Θεός·
19 ἰδοὺ προκεχάλασται ἡ γλῶσσα, τέμνε, οὐ
γὰρ παρά τοῦτο τὸν λογισμὸν ἡμῶν
γλωσσοτομήσεις.
20 ἡδέως ὑπὲρ τοῦ νόμου τοῦ Θεοῦ τὰ τοῦ
σώματος μέλη ἀκρωτηριαζόμεθα.
21 σὲ δὲ ταχέως μετελεύσεται ὁ Θεός, τὴν
γὰρ τῶν θείων ὕμνων μελῳδὸν γλῶτταν
ἐκτέμνεις.

# 11

1 Ως δὲ καὶ οὗτος ταῖς βασάνοις
καταικισθεὶς ἐναπέθανεν, ὁ πέμπτος
παρεπήδησε λέγων·
2 οὐ μέλλω, τύραννε, πρὸς τὸν ὑπὲρ τῆς
ἀρετῆς βασανισμὸν παραιτεῖσθαι,
3 αὐτὸς δ' ἀπ' ἐμαυτοῦ παρῆλθον, ὅπως
κἀμὲ κατακτείνας περὶ πλειόνων
ἀδικημάτων ὀφειλήσῃς τῇ οὐρανίῳ δίκῃ
τιμωρίαν.

4 ὦ μισάρετε καὶ μισάνθρωπε, τί δράσαντας
ἡμᾶς τοῦτον πορθεῖς τὸν τρόπον;
5 ἢ κακόν σοι δοκεῖ ὅτι τὸν πάντων κτίστην
εὐσεβοῦμεν καὶ κατὰ τὸν ἐνάρετον αὐτοῦ
ζῶμεν νόμον;
6 ἀλλὰ ταῦτα τιμῶν, οὐ βασάνων ἐστὶν
ἄξια.
7 εἴπερ ᾐσθάνου ἀνθρώπου πόθον καὶ
ἐλπίδα εἶχες παρὰ Θεῷ σωτηρίου·
8 νυνὶ δὲ ἀλλότριος ὢν Θεοῦ πολεμεῖς τοὺς
εὐσεβοῦντας εἰς τὸν Θεόν.
9 τοιαῦτα δὲ λέγοντα οἱ δορυφόροι
δήσαντες αὐτὸν εἷλκον ἐπὶ τὸν καταπέλτην,
10 ἐφ' ὃν δήσαντες αὐτὸν ἐπὶ τὰ γόνατα καὶ
ταῦτα ποδάγραις σιδηραῖς ἐφαρμόσαντες τὴν
ὀσφὺν αὐτοῦ περὶ τροχιαῖον σφῆνα
κατέκαμψαν, περὶ ὃν ὅλος περὶ τὸν τροχὸν
σκορπίου τρόπον ἀνακλώμενος ἐξεμελίζετο.
11 κατὰ τοῦτον τὸν τρόπον καὶ τὸ πνεῦμα
στενοχωρούμενος καὶ τὸ σῶμα ἀγχόμενος,
12 καλάς, ἔλεγεν, ἄκων, ὦ τύραννε, χάριτας
ἡμῖν χαρίζῃ διὰ γενναιοτέρων πόνων
ἐπιδείξασθαι παρέχων τὴν εἰς τὸν νόμον
ἡμῶν καρτερίαν.
13 Τελευτήσαντος δὲ καὶ τούτου, ὁ ἕκτος
ἤγετο μειρακίσκος, ὃς πυνθανομένου τοῦ
τυράννου εἰ βούλοιτο φαγὼν ἀπολύεσθαι, ὁ
δὲ ἔφη·
14 ἐγὼ τῇ μὲν ἡλικίᾳ τῶν ἀδελφῶν μού εἰμι
νεώτερος, τῇ δὲ διανοίᾳ ἡλικιώτης·
15 εἰς τὰ αὐτὰ γὰρ καὶ γεννηθέντες καὶ

τραφέντες, ὑπὲρ τῶν αὐτῶν καὶ ἀποθνήσκειν
ὀφείλομεν ὁμοίως·
16 ὥστε εἰ σοὶ δοκεῖ βασανίζειν μὴ
μιαροφαγοῦντα, βασάνιζε.
17 ταῦτα αὐτὸν εἰπόντα παρῆγον ἐπὶ τὸν
τροχόν,
18 ἐφ' οὗ κατατεινόμενος ἐκμελῶς καὶ
ἐκσπονδυλιζόμενος ὑπεκαίετο.
19 καὶ ὀβελίσκους δὲ ὀξεῖς πυρώσαντες,
τοῖς νώτοις προσέφερον καὶ τὰ πλευρὰ
διαπείραντες αὐτοῦ τὰ σπλάγχνα διέκαιον.
20 ὁ δὲ βασανιζόμενος, ὢ ἱεροπρεποῦς
ἀγῶνος, ἔλεγεν, ἐφ' ὃν διὰ τὴν εὐσέβειαν εἰς
γυμνασίαν πόνων ἀδελφοὶ τοσοῦτοι
κληθέντες οὐκ ἐνικήθημεν.
21 ἀνίκητος γάρ ἐστιν, ὢ τύραννε, ἡ
εὐσεβὴς ἐπιστήμη.
1 22 καλοκἀγαθίᾳ καθωπλισμένος
τεθνήξομαι μὲν κἀγὼ μετὰ τῶν ἀδελφῶν μου,
23 σὺ δέ, ὦ τύραννε, μέγαν σοὶ προσλαβὼν
καὶ αὐτὸς τιμωρόν, καινουργὲ τῶν βασάνων
καὶ πολέμιε τῶν ἀληθῶς εὐσεβούντων
24 ἓξ μειράκια καταλελύκαμέν σου τὴν
τυραννίδα·
25 τὸ γὰρ μὴ δυνηθῆναί σε μεταπεῖσαι τὸν
λογισμὸν ἡμῶν μήτε βιάσασθαι πρὸς τὴν
μιαροφαγίαν οὐ κατάλυσίς ἐστί σου;
26 τὸ πῦρ σου ψυχρὸν ἡμῖν, καὶ ἄπονοι οἱ
καταπέλται, καὶ ἀδύνατος ἡ βία σου.
27 οὐ γὰρ τυράννου, ἀλλὰ θείου νόμου
προεστήκασιν ἡμῶν οἱ δορυφόροι· διὰ τοῦτο

ἀνίκητον ἔχομεν τὸν λογισμόν.

# 12

1 Ως δὲ καὶ οὗτος μακαρίως ἐναπέθανε
καταβληθεὶς εἰς λέβητα, ὁ ἕβδομος
παρεγίνετο πάντων νεώτερος.
2 ὃν κατοικτειρήσας ὁ τύραννος, καίπερ
δεινῶς ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ κακισθείς,
ὁρῶν ἤδη τὰ δεσμὰ περικείμενον,
3 πλησιέστερον αὐτὸν μετεπέμψατο καὶ
παρηγορεῖν ἐπειρᾶτο λέγων·
4 τῆς μὲν τῶν ἀδελφῶν σου ἀπονοίας τὸ
τέλος ὁρᾷς· διὰ γὰρ ἀπείθειαν
στρεβλωθέντες τεθνήκασι· σὺ δέ, εἰ μὲν μὴ
πεισθείης, τάλας βασανισθεὶς καὶ αὐτὸς
τεθνήξῃ πρὸ ὥρας.
5 πεισθεὶς δὲ φίλος ἔσῃ καὶ τῶν ἐπὶ τῆς
βασιλείας ἀφηγήσῃ πραγμάτων.
6 καὶ ταῦτα παρακαλῶν, τὴν μητέρα τοῦ
παιδὸς μετεπέμψατο, ὅπως αὐτὴν ἐλεήσας
τοσούτων υἱῶν στερηθεῖσαν παρορμήσειεν
ἐπὶ τὴν σωτήριον εὐπείθειαν τὸν
περιλειπόμενον.
7 ὁ δὲ τῆς μητρὸς τῇ ἑβραΐδι φωνῇ
προτρεψαμένης αὐτὸν (ὡς ἐροῦμεν μετὰ
μικρὸν ὕστερον), ἀπολύσατέ με, φησίν·
8 εἴπω τι τῷ βασιλεῖ καὶ τοῖς σὺν αὐτῷ
φίλοις πᾶσι.
9 καὶ ἐπιχαρέντες ὅ τε βασιλεὺς καὶ οἱ σὺν
αὐτῷ μάλιστα ἐπὶ τῇ ἐπαγγελίᾳ τοῦ παιδὸς
ταχέως ἔλυσαν αὐτόν.

10 καὶ δραμὼν ἐπὶ πλησίον τῶν τηγάνων
ἔφη·
11 ἀνόσιε, φησίν, καὶ πάντων τῶν πονηρῶν
ἀσεβέστατε τύραννε, οὐκ ᾐδέσθης παρὰ τοῦ
Θεοῦ λαβὼν τὰ ἀγαθὰ καὶ τὴν βασιλείαν
τοὺς θεράποντας αὐτοῦ κατακτεῖναι καὶ τοὺς
εὐσεβείας ἀσκητὰς στρεβλῶσαι;
12 ἀνθ' ὧν ταμιεύσεταί σε ἡ θεία δίκη
πυκνοτέρῳ καὶ αἰωνίῳ πυρὶ καὶ βασάνοις, αἳ
εἰς ὅλον τὸν αἰῶνα οὐκ ἀνήσουσί σε.
13 οὐκ ᾐδέσθης ἄνθρωπος ὤν,
θηριωδέστατε, τοὺς ὁμοιοπαθεῖς καὶ ἐκ τῶν
αὐτῶν γεγονότας στοιχείων γλωττοτομῆσαι
καὶ τοῦτον καταικίσας τὸν τρόπον
βασανίσαι;
14 ἀλλ' οἱ μὲν εὐγενῶς ἀποθανόντες
ἐπλήρωσαν τὴν εἰς τὸν Θεὸν εὐσέβειαν,
15 σὺ δὲ κακὸς κακῶς οἰμώξεις τοὺς τῆς
ἀρετῆς ἀγωνιστὰς ἀναιτίως ἀποκτείνας.
16 ὅθεν καὶ αὐτὸς ἀποθνήσκειν μέλλων ἔφη·
17 οὐκ ἀπαυτομολῶ τῆς τῶν ἀδελφῶν μου
ἀριστείας·
18 ἐπικαλοῦμαι δὲ τὸν πατρῷον Θεόν, ὅπως
ἵλεως γένηται τῷ γένει μου.
19 σὲ δὲ καὶ ἐν τῷ νῦν βίῳ καὶ θανόντα
τιμωρήσεται.
20 καὶ ταῦτα κατευξάμενος, ἑαυτὸν ἔρριψε
κατά τῶν τηγάνων, καὶ οὕτως ἀπέδωκε τὴν
ψυχήν.

# 13

1 Εἰ δὲ τοίνυν τῶν μέχρι θανάτου πόνων

ὑπερεφρόνησαν οἱ ἑπτὰ ἀδελφοί,
συνομολογεῖται πανταχόθεν ὅτι
αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς
λογισμός.
2 εἰ γὰρ τοῖς πάθεσι δουλωθέντες
ἐμιαροφάγησαν, ἐλέγομεν ἂν τούτοις αὐτοὺς
νενικῆσθαι·
3 νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ τῷ ἐπαινουμένῳ
παρὰ Θεῷ λογισμῷ περιεγένετο τῶν παθῶν.
4 ὧν οὐκ ἔστι παριδεῖν τὴν ἡγεμονίαν τῆς
διανοίας· ἐπεκράτησαν γὰρ καὶ πάθους καὶ
πόνων.
5 πῶς οὖν οὐκ ἔστι τούτοις τὴν τῆς
εὐλογιστίας παθοκρατορίαν ὁμολογεῖν, οἳ
τῶν μὲν διὰ πυρὸς ἀλγηδόνων οὐκ
ἐπεστράφησαν;
6 καθάπερ γὰρ προβλῆτες λιμένων πύργοι
τὰς τῶν κυμάτων ἀπειλὰς ἀνακόπτοντες
γαληνὸν παρέχουσι τοῖς εἰσπλέουσι τὸν
ὅρμον,
7 οὕτως ἡ ἑπτάπυργος τῶν νεανίσκων
εὐλογιστία τὸν τῆς εὐσεβείας ὀχυρώσασα
λιμένα τὴν τῶν παθῶν ἐνίκησεν ἀκολασίαν.
8 ἱερὸν γὰρ εὐσεβείας στήσαντες χορὸν
παρεθάρσυνον ἀλλήλους λέγοντες·
9 ἀδελφικῶς ἀποθάνοιμεν ἀδελφοὶ περὶ τοῦ
νόμου· μιμησώμεθα τοὺς τρεῖς τοὺς ἐπὶ τῆς
Ἀσσυρίας νεανίσκους, οἳ τῆς ἰσοπάλιδος
καμίνου κατεφρόνησαν.
10 μὴ δειλανδρήσωμεν πρὸς τὴν τῆς
εὐσεβείας ἀπόδειξιν.
11 καὶ ὁ μέν, θάρρει, ἀδελφέ, ἔλεγεν· ὁ δέ,

εὐγενῶς καρτέρησον,
12 ὁ δέ, καταμνησθεὶς ἔλεγε· μνήσθητε
πόθεν ἐστὲ ἢ τίνος πατρὸς χειρὶ
σφαγιασθῆναι διὰ τὴν εὐσέβειαν ὑπέμεινεν
Ἰσαάκ.
13 εἷς δὲ ἕκαστος καὶ ἀλλήλους ὁμοῦ
πάντες ἐφορῶντες φαιδροὶ καὶ μάλα
θαρραλέοι, ἑαυτούς, ἔλεγον, τῷ Θεῷ
ἀφιερώσωμεν ἐξ ὅλης τῆς καρδίας τῷ δόντι
τὰς ψυχὰς καὶ χρήσωμεν τῇ περὶ τὸν νόμον
φυλακῇ τὰ σώματα.
14 μὴ φοβηθῶμεν τὸν δοκοῦντα ἀποκτέννειν
τὸ σῶμα·
15 μέγας γὰρ ψυχῆς ἀγὼν καὶ κίνδυνος ἐν
αἰωνίῳ βασάνῳ κείμενος τοῖς παραβᾶσι τὴν
ἐντολὴν τοῦ Θεοῦ.
16 καθοπλισώμεθα τοιγαροῦν τῇ τοῦ θείου
λογισμοῦ παθοκρατορίᾳ.
17 οὕτως γὰρ θανόντας ἡμᾶς Ἀβραὰμ καὶ
Ἰσαὰκ καὶ Ἰακὼβ ὑποδέξονται εἰς τοὺς
κόλπους αὐτῶν καὶ πάντες οἱ πατέρες
ἐπαινέσουσι.
18 καὶ ἑνὶ ἑκάστῳ τῶν ἀποσπωμένων αὐτῶν
ἀδελφῶν ἔλεγον οἱ περιλειπόμενοι· μὴ
καταισχύνῃς ἡμᾶς, ἀδελφέ, μηδὲ ψεύσῃ τοὺς
προαποθανόντας ἡμῶν ἀδελφούς.
19 οὐκ ἀγνοεῖτε δὲ τὰ τῆς ἀδελφότητος
φίλτρα, ἅπερ ἡ θεία καὶ πάνσοφος πρόνοια
διὰ τῶν πατέρων τοῖς γενομένοις ἐμέρισε καὶ
διὰ τῆς μητρῴας φυτεύσασα γαστρός,
20 ἐν ᾗ τὸν ἴσον ἀδελφοὶ κατοικήσαντες
χρόνον καὶ ἐν τῷ αὐτῷ χρόνῳ πλασθέντες

καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες καὶ
διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες
21 καὶ διὰ τῶν ἴσων ἀποτεχθέντες χρόνων
καὶ ἀπὸ τῶν αὐτῶν γαλακτοποτοῦντες
πηγῶν, ἀφ' ὧν συστρέφονται
ἐναγκαλισμάτων φιλάδελφοι ψυχαί·
22 καὶ αὔξοντες σφοδρότερον διὰ τῆς
συντροφίας καὶ τῆς καθ' ἡμέραν συνηθείας
καὶ τῆς ἄλλης παιδείας καὶ τῆς ἡμετέρας ἐν
νόμῳ Θεοῦ ἀσκήσεως.
23 οὕτως δὴ τοίνυν καθεστηκυίας
συμπαθοῦς τῆς φιλαδελφίας, οἱ ἑπτὰ ἀδελφοὶ
συμπαθέστερον ἔσχον τὴν πρὸς ἀλλήλους
ὁμόνοιαν.
24 νόμῳ γὰρ τῷ αὐτῷ παιδευθέντες καὶ τὰς
αὐτὰς ἐξασκήσαντες ἀρετὰς καὶ τῷ δικαίῳ
συντραφέντες βίῳ, μᾶλλον ἑαυτοὺς ἠγάπων.
25 ἡ γὰρ ὁμοζηλία τῆς καλοκἀγαθίας
ἐπέτεινεν αὐτῶν τὴν πρὸς ἀλλήλους εὔνοιαν
καὶ ὁμόνοιαν.
26 σὺν γὰρ τῇ εὐσεβείᾳ ποθεινοτέραν
αὐτοῖς κατεσκεύαζον τὴν φιλαδελφίαν.
27 ἀλλ' ὅμως καὶ περὶ τῆς φύσεως καὶ τῆς
συνηθείας καὶ τῶν τῆς ἀρετῆς ἠθῶν τὰ τῆς
ἀδελφότητος αὐτοῖς φίλτρα συναυξόντων,
ἀνέσχοντο διὰ τὴν εὐσέβειαν τοὺς ἀδελφοὺς
οἱ ὑπολελειμμένοι, τοὺς καταικιζομένους
ὁρῶντες μέχρι θανάτου βασανιζομένους.

# 14

1 Προσέτι καὶ ἐπὶ τὸν αἰκισμὸν
ἐποτρύνοντες, ὡς μὴ μόνον τῶν ἀλγηδόνων

περιφρονῆσαι αὐτούς, ἀλλὰ καὶ τῶν τῆς τῶν
ἀδελφῶν φιλαδελφίας παθῶν κρατῆσαι.
2 ὢ βασιλέως λογισμοὶ βασιλικώτεροι καὶ
ἐλευθέρων ἐλευθερώτεροι.
3 ὢ ἱερᾶς καὶ εὐαρμόστου περὶ τῆς
εὐσεβείας τῶν ἑπτὰ ἀδελφῶν συμφωνίας.
4 οὐδεὶς ἐκ τῶν ἑπτὰ μειρακίων ἐδειλίασεν
οὐδὲ πρὸς τὸν θάνατον ὤκνησεν,
5 ἀλλὰ πάντες ὥσπερ ἐπ' ἀθανασίας ὁδὸν
τρέχοντες, ἐπὶ τὸν διὰ τῶν βασάνων θάνατον
ἔσπευδον.
6 καθάπερ γὰρ χεῖρες καὶ πόδες συμφώνως
τοῖς τῆς ψυχῆς ἀφηγήμασιν κινοῦνται, οὕτως
οἱ ἱεροὶ μείρακες ἐκεῖνοι ὡς ὑπὸ ψυχῆς μιᾶς
τῆς ἀθανάτου τῆς εὐσεβείας κινούμενοι πρὸς
τὸν ὑπὲρ αὐτῆς συνεφώνησαν θάνατον.
7 ὢ πανάγιε συμφώνων ἀδελφῶν ἑβδομάς·
καθάπερ γὰρ ἑπτὰ τῆς κοσμοποιΐας ἡμέραι
περὶ τὴν εὐσέβειαν,
8 οὕτως περὶ τὴν ἑβδομάδα χορεύοντες οἱ
μείρακες ἐκύκλουν τὸν τῶν βασάνων φόβον
καταλύοντες.
9 νῦν ἡμεῖς ἀκούοντες τὴν θλῖψιν τῶν
νεανιῶν ἐκείνων φρίττομεν· οἱ δὲ οὐ μόνον
ὁρῶντες, ἀλλ' οὐδὲ μόνον ἀκούοντες τὸν
παραχρῆμα ἀπειλῆς λόγον, ἀλλὰ καὶ
πάσχοντες ἐνεκαρτέρουν, καὶ τοῦτο ταῖς διὰ
πυρὸς ὀδύναις·
10 ὧν τί ἂν γένοιτο ἐπαλγέστερον; ὀξεῖα
γὰρ καὶ σύντομος ἡ τοῦ πυρὸς οὖσα δύναμις
ταχέως διέλυε τά σώματα.

11 Καὶ μὴ θαυμαστὸν ἡγεῖσθε, εἰ ὁ λογισμὸς
περιεκράτησε τῶν ἀνδρῶν ἐκείνων ἐν ταῖς
βασάνοις, ὅπου γε καὶ γυναικὸς νοῦς
πολυτροπωτέρων ὑπερεφρόνησεν ἀλγηδόνων·
12 ἡ μήτηρ γὰρ τῶν ἑπτὰ νεανίσκων
ἐκείνων ὑπήνεγκε τὰς ἐφ' ἑνὶ ἑκάστῳ τῶν
τέκνων στρέβλας.
13 θεωρεῖτε δὲ πῶς πολύπλοκός ἐστιν ἡ τῆς
φιλοτεκνίας στοργὴ ἕλκουσα πάντα πρὸς τὴν
τῶν σπλάγχνων συμπάθειαν,
14 ὅπου γε καὶ τὰ ἄλογα ζῷα ὁμοίαν τὴν εἰς
τὰ ἐξ αὐτῶν γεννώμενα συμπάθειαν καὶ
στοργὴν ἔχει τοῖς ἀνθρώποις.
15 καὶ γὰρ τῶν πετεινῶν τὰ μὲν ἥμερα κατὰ
τὰς οἰκίας ὀροφοιτοῦντα προασπίζει τῶν
νεοσσῶν,
16 τὰ δὲ κατὰ τὰς κορυφὰς ὀρέων καὶ
φαράγγων ἀπορρῶγας καὶ δένδρων ὀπὰς καὶ
τὰς τούτων ἄκρας ἐννοσσοποιησάμενα
ἀποτίκτει καὶ τὸν προσιόντα κωλύει·
17 εἰ δὲ καὶ μὴ δύναιντο κωλύειν,
περιϊπτάμενα κυκλόθεν αὐτῶν ἀλγοῦντα τῇ
στοργῇ, ἀνακαλούμενα τῇ ἰδίᾳ φωνῇ, καθ' ὃν
δύναται τρόπον βοηθεῖ τοῖς τέκνοις.
18 καὶ τί δεῖ τὴν διὰ τῶν ἀλόγων ζῴων
ἐπιδεικνύναι τὴν πρὸς τὰ τέκνα συμπάθειαν;
19 ὅπου γε καὶ μέλισσαι περὶ τὸν τῆς
κηρογονίας καιρὸν ἐπαμύνονται τοὺς
προσιόντας καὶ καθάπερ σιδήρῳ τῷ κέντρῳ
πλήσσουσι τοὺς προσιόντας τῇ νοσσιᾷ
αὐτῶν καὶ ἐπαμύνουσιν ἕως θανάτου;
20 ἀλλ' οὐχὶ τὴν τοῦ Ἀβραὰμ ὁμόψυχον τῶν

νεανιῶν μητέρα μετεκίνησε συμπάθεια τῶν
τέκνων.

# 15

1 Ω λογισμὲ τέκνων παθῶν τύραννε καὶ
εὐσέβεια μητρὶ τέκνων ποθεινοτέρα.
2 μήτηρ δυοῖν προκειμένων, εὐσεβείας καὶ
τῆς τῶν ἑπτὰ υἱῶν σωτηρίας προσκαίρου
κατὰ τὴν τοῦ τυράννου ὑπόσχεσιν,
3 τὴν εὐσέβειαν μᾶλλον ἠγάπησε τὴν
σῴζουσαν εἰς αἰώνιον ζωὴν κατὰ Θεόν.
4 ὦ τίνα τρόπον ἠθολογήσαιμι, φιλότεκνα
γονέων πάθη. ψυχῆς τε καὶ μορφῆς
ὁμοιότητα εἰς μικρὸν παιδὸς χαρακτῆρα
θαυμάσιον ἐναποσφραγίζομεν, μάλιστα διὰ
τὸ τῶν παθῶν τοῖς γεννηθεῖσι τὰς μητέρας
τῶν πατέρων καθεστάναι συμπαθεστέρας.
5 ὅσῳ γὰρ καὶ ἀσθενόψυχοι καὶ
πολυγονώτεραι ὑπάρχουσιν αἱ μητέρες,
τοσοῦτον μᾶλλόν εἰσι φιλοτεκνότεραι.
6 πασῶν δὲ τῶν μητέρων ἐγένετο ἡ τῶν
ἑπτὰ παίδων μήτηρ φιλοτεκνοτέρα, ἥτις ἑπτὰ
κυοφορίαις τὴν πρὸς αὐτοὺς ἐπιφυτευομένη
φιλοστοργίαν
7 καὶ διὰ πολλὰς τὰς καθ' ἕκαστον αὐτῶν
ὠδῖνας ἠναγκασμένη τὴν εἰς αὐτοὺς ἔχειν
συμπάθειαν,
8 διὰ τὸν πρὸς τὸν Θεὸν φόβον ὑπερεῖδε τὴν
τῶν τέκνων πρόσκαιρον σωτηρίαν.
9 οὐ μὴν δέ, ἀλλὰ καὶ διὰ τὴν
καλοκἀγαθίαν τῶν υἱῶν καὶ τὴν πρὸς τὸν

νόμον αὐτῶν εὐπείθειαν μείζω τὴν ἐν αὐτοῖς ἔσχε φιλοστοργίαν.

10 δίκαιοί τε γὰρ ἦσαν καὶ σώφρονες καὶ ἀνδρεῖοι καὶ μεγαλόψυχοι καὶ φιλάδελφοι καὶ φιλομήτορες οὕτως, ὥστε καὶ μέχρι θανάτου τὰ νόμιμα φυλάσσοντας πείθεσθαι αὐτῇ.
11 ἀλλ' ὅμως καίπερ τοσούτων ὄντων τῶν περὶ φιλοτεκνίαν εἰς συμπάθειαν ἑλκόντων τὴν μητέρα, ἐπ' οὐδενὸς αὐτῶν τὸν λογισμὸν αὐτῆς αἱ παμποίκιλοι βάσανοι ἴσχυσαν μεταστρέψαι,
12 ἀλλὰ καὶ καθ' ἕνα παῖδα καὶ ὁμοῦ πάντας ἡ μήτηρ ἐπὶ τὸν ὑπὲρ τῆς εὐσεβείας προετρέπετο θάνατον.

13 ὦ φύσις ἱερὰ καὶ φίλτρα γονέων καὶ γένεσις φιλόστοργε καὶ τροφεῖα καὶ μητέρων ἀδάμαστα πάθη.
14 καθ' ἕνα στρεβλούμενον καὶ φλεγόμενον ὁρῶσα μήτηρ, οὐ μετεβάλλετο διὰ τὴν εὐσέβειαν.
15 τὰς σάρκας τῶν τέκνων ἑώρα περὶ τὸ πῦρ τηκομένας καὶ τοὺς τῶν ποδῶν καὶ χειρῶν δακτύλους ἐπὶ γῆς σπαίροντας καὶ τὰς τῶν κεφαλῶν μέχρι τῶν περὶ τὰ γένεια σάρκας ὥσπερ προσωπεῖα προκειμένας.

16 ὦ πικροτέρων μὲν νῦν μήτηρ πόνων πειρασθεῖσα ἤπερ τῶν ἐπ' αὐτοῖς ὠδίνων.

17 ὦ μόνη γύναι τὴν εὐσέβειαν ὁλόκληρον ἀποκυήσασα.
18 οὐ μετέτρεψέ σε πρωτότοκος ἀποπνέων,

οὐδὲ δεύτερος εἰς σὲ οἰκτρὸν βλέπων ἐν
βασάνοις, οὐδὲ τρίτος ἀποψύχων,
19 οὐδὲ τοὺς ὀφθαλμοὺς ἑνὸς ἑκάστου
θεωροῦσα ταυρηδὸν ἐπὶ τῶν βασάνων
ὁρῶντας τὸν ἑαυτῶν αἰκισμὸν καὶ τοὺς
μυκτῆρας προσημειουμένους αὐτῶν τὸν
θάνατον, οὐκ ἔκλαυσας.
20 ἐπὶ σαρξὶ τέκνων ὁρῶσα σάρκας τέκνων
ἀποκαιομένας καὶ ἐπὶ χερσὶ χεῖρας
ἀποτεμνομένας καὶ ἐπὶ κεφαλαῖς κεφαλὰς
ἀποδειροτομουμένας καὶ ἐπὶ νεκροῖς νεκροὺς
πίπτοντας καὶ πολυάνδριον ὁρῶσα τῶν
τέκνων τὸ χορεῖον διὰ τῶν βασάνων, οὐκ
ἐδάκρυσας.
21 οὐχ οὕτως σειρήνειοι μελῳδίαι, οὐδὲ
κύκνειοι πρὸς φιληκοΐαν φωναὶ τοὺς
ἀκούοντας ἐφέλκονται, ὡς τέκνων φωναὶ
μετὰ βασάνων μητέρα φωνούντων.
22 πηλίκαις καὶ πόσαις τότε ἡ μήτηρ τῶν
υἱῶν βασανιζομένων τροχοῖς τε καὶ
καυτηρίοις ἐβασανίζετο βασάνοις;
23 ἀλλὰ τὰ σπλάγχνα αὐτῆς ὁ εὐσεβὴς
λογισμὸς ἐν αὐτοῖς τοῖς πάθεσιν ἀνδρειώσας
ἐπέτεινε τὴν πρόσκαιρον φιλοτεκνίαν
παριδεῖν.
24 καίπερ ἑπτὰ τέκνων ὁρῶσα ἀπώλειαν καὶ
τὴν τῶν στρεβλῶν πολύπλοκον ποικιλίαν,
ἁπάσας ἡ γενναία μήτηρ ἐξέλυσε διὰ τὴν
πρὸς Θεὸν πίστιν.
25 καθάπερ γὰρ ἐν βουλετηρίῳ τῇ ἑαυτῆς
ψυχῇ δεινοὺς ὁρῶσα συμβούλους, φύσιν καὶ
γένεσιν καὶ φιλοτεκνίαν καὶ τέκνων

στρέβλας,
26 δύο ψήφους κρατοῦσα μήτηρ,
θανατηφόρον τε καὶ σωτήριον, ὑπὲρ τέκνων
27 οὐκ ἐπέγνω τὴν σῴζουσαν ἑπτὰ υἱοὺς
πρὸς ὀλίγον χρόνον σωτηρίαν,
28 ἀλλὰ τῆς θεοσεβοῦς Ἀβραὰμ καρτερίας ἡ
θυγάτηρ ἐμνήσθη.
29 ὦ μήτηρ ἔθνους, ἔκδικε τοῦ νόμου καὶ
ὑπερασπίστρια τῆς εὐσεβείας καὶ τοῦ διὰ
σπλάγχνων ἀγῶνος ἀθλοφόρε·
30 ὦ ἀρρένων πρὸς καρτερίαν γενναιοτέρα
καὶ ἀνδρῶν πρὸς ὑπομονὴν ἀνδρειοτέρα.
31 καθάπερ γὰρ ἡ Νῶε κιβωτὸς ἐν τῷ
κοσμοπληθεῖ κατακλυσμῷ κοσμοφοροῦσα
καρτερῶς ὑπήνεγκε τοὺς κλύδωνας,
32 οὕτως σύ, ἡ νομοφύλαξ, πανταχόθεν ἐν
τῷ τῶν παθῶν περιαντλουμένη κατακλυσμῷ
καὶ καρτεροῖς ἀνέμοις, ταῖς τῶν υἱῶν
βασάνοις συνεχομένη γενναίως ὑπέμεινας
τοὺς ὑπὲρ τῆς εὐσεβείας χειμῶνας.

# 16

1 Εἰ δὲ τοίνυν καὶ γυνὴ καὶ γηραιὰ καὶ ἑπτὰ
παίδων μήτηρ ὑπέμεινε τὰς μέχρι θανάτου
βασάνους ὁρῶσα τῶν τέκνων,
ὁμολογουμένως αὐτοκράτωρ ἐστὶ τῶν παθῶν
ὁ εὐσεβὴς λογισμός.
2 ἀπέδειξα οὖν ὅτι οὐ μόνον τῶν παθῶν
ἄνδρες ἐπεκράτησαν, ἀλλὰ καὶ γυνὴ τῶν
μεγίστων βασάνων ὑπερεφρόνησε.

3 καὶ οὐχ οὕτως οἱ περὶ τὸν Δανιὴλ λέοντες
ἦσαν ἄγριοι, οὐδὲ ἡ κατὰ τὸν Μισαὴλ
ἐκφλεγομένη κάμινος λαβροτάτῳ πυρί, ὡς ἡ
τῆς φιλοτεκνίας περιέκαιεν ἐκείνην φύσις,
ὁρῶσαν αὐτῆς οὕτως ποικίλως τοὺς ἑπτὰ
υἱοὺς βασανιζομένους.
4 ἀλλὰ τῷ λογισμῷ τῆς εὐσεβείας
κατέσβεσε τοσαῦτα καὶ τηλικαῦτα πάθη ἡ
μήτηρ.
5 καὶ γὰρ τοῦτο ἐπιλογίσασθε, ὅτι εἰ
δειλόψυχος ἦν ἡ γυνή, καίπερ μήτηρ οὖσα,
ὠλοφύρετο ἂν ἐπ' αὐτοῖς καὶ ἴσως ἂν ταῦτα
οὕτως εἶπεν·
6 ὦ μελέα ἔγωγε καὶ πολλάκις τρισαθλία
ἥτις ἑπτὰ παῖδας τεκοῦσα οὐδενὸς μήτηρ
γεγένημαι.
7 ὦ μάταιοι ἑπτὰ κυοφορίαι, καὶ ἀνόνητοι
ἑπτὰ δεκάμηνοι καὶ ἄκαρποι τιθηνίαι καὶ
ταλαίπωροι γαλακτοτροφίαι.
8 μάτην ἐφ' ὑμῖν, ὦ παῖδες, πολλὰς
ὑπέμεινα ὠδῖνας καὶ χαλεπωτέρας
φροντίδας ἀνατροφῆς.
9 ὦ τῶν ἐμῶν παίδων, οἱ μὲν ἄγαμοι, οἱ δὲ
γήμαντες ἀνόνητοι· οὐκ ὄψομαι ὑμῶν τέκνα,
οὐδὲ μάμμη κληθεῖσα μακαρισθήσομαι.
10 ὦ ἡ πολύπαις καὶ καλλίπαις ἐγὼ γυνὴ
χήρα καὶ μόνη πολύθρηνος·
11 οὐδ' ἂν ἀποθάνω, θάψοντα τῶν υἱῶν ἕξω
τινά. Ἀλλὰ τούτῳ τῷ θρήνῳ οὐδένα
ὠλοφύρετο ἡ ἱερὰ καὶ θεοσεβὴς μήτηρ,

12 οὐδ' ἵνα μὴ ἀποθάνωσιν ἀπέτρεπεν
αὐτῶν τινα οὐδ ὡς ἀποθνῃσκόντων ἐλυπήθη·
13 ἀλλ' ὥσπερ ἀδαμάντινον ἔχουσα τὸν
νοῦν καὶ εἰς ἀθανασίαν ἀνατίκτουσα τὸν
τῶν υἱῶν ἀριθμόν, μᾶλλον ὑπὲρ τῆς
εὐσεβείας ἐπὶ τὸν θάνατον αὐτοὺς
προετρέπετο ἱκετεύουσα.
14 ὦ μῆτερ δι' εὐσέβειαν Θεοῦ στρατιῶτι,
πρεσβῦτι, καὶ γύναι, διὰ καρτερίαν καὶ
τύραννον ἐνίκησας καὶ ἔργοις δυνατωτέρα
καὶ λόγοις εὑρέθης ἀνδρός.
15 καὶ γὰρ ὅτε συνελήφθης μετὰ τῶν
παίδων, εἱστήκεις τὸν Ἐλεάζαρον ὁρῶσα
βασανιζόμενον καὶ ἔλεγες τοῖς παισὶν ἐν τῇ
ἑβραΐδι φωνῇ.
16 ὦ παῖδες, γενναῖος ὁ ἀγών, ἐφ' ὃν
κληθέντες ὑπὲρ τῆς διαμαρτυρίας τοῦ
ἔθνους, ἐναγωνίσασθε προθύμως ὑπὲρ τοῦ
πατρίου νόμου.
17 καὶ γὰρ αἰσχρὸν τὸν μὲν γέροντα τοῦτον
ὑπομένειν τὰς διὰ τὴν εὐσέβειαν ἀλγηδόνας,
ὑμᾶς δὲ τοὺς νεανίσκους καταπλαγῆναι τὰς
βασάνους.
18 ἀναμνήσθητε ὅτι διὰ τὸν Θεὸν τοῦ
κόσμου μετελάβετε, καὶ τοῦ βίου ἀπελαύσατε,
19 καὶ διὰ τοῦτο ὀφείλετε πάντα πόνον
ὑπομένειν διὰ τὸν Θεόν,
20 δι' ὃν καὶ ὁ πατὴρ ἡμῶν Ἀβραὰμ ἔσπευδε
τὸν ἐθνοπάτορα υἱὸν σφαγιάσαι Ἰσαάκ. καὶ
τὴν πατρῴαν χεῖρα ξιφηφόρον
καταφερομένην ἐπ' αὐτὸν ὁρῶν ὁ Ἰσαὰκ οὐκ

ἔπτυξεν.
21 καὶ Δανιὴλ ὁ δίκαιος εἰς λέοντας ἐβλήθη,
καὶ Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ εἰς
κάμινον πυρὸς ἀπεσφενδονήθησαν καὶ
ὑπέμειναν διὰ τὸν Θεόν.
22 καὶ ἡμεῖς οὖν τὴν αὐτὴν πίστιν πρὸς τὸν
Θεόν ἔχοντες μὴ χαλεπαίνητε.
23 ἀλόγιστον γὰρ εἰδότας εὐσέβειαν μὴ
ἀνθίστασθαι τοῖς πόνοις.
24 Διὰ τούτων τῶν λόγων ἡ ἑπταμήτωρ ἕνα
ἕκαστον τῶν υἱῶν παρακαλοῦσα, ἀποθανεῖν
ἔπεισε μᾶλλον ἢ παραβῆναι τὴν ἐντολὴν τοῦ
Θεοῦ.
25 ἔτι δὲ καὶ ταῦτα εἰδότες ὅτι οἱ διὰ τὸν
Θεὸν ἀποθανόντες ζῶσι τῷ Θεῷ, ὥσπερ
Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντες οἱ
πατριάρχαι.

# 17

1 Ελεγον δὲ καὶ τῶν δορυφόρων τινὲς ὡς
ὅτε ἔμελλε καὶ αὐτὴ συλλαμβάνεσθαι πρὸς
θάνατον, ἵνα μὴ ψαύσειέ τις τοῦ σώματος
ἑαυτῆς, ἑαυτὴν ἔρριψεν κατὰ τῆς πυρᾶς.
2 ὢ μήτηρ σὺν ἑπτὰ παισὶ καταλύσασα τὴν
τοῦ τυράννου βίαν καὶ ἀκυρώσασα τὰς
κακὰς ἐπινοίας αὐτοῦ καὶ ἐπιδείξασα τὴν
τῆς πίστεως γενναιότητα.
3 καθάπερ γὰρ σὺ στέγη ἐπὶ τοὺς στύλους
τῶν παίδων γενναίως ἱδρυμένη, ἀκλινὴς
ὑπήνεγκας τὸν διὰ τῶν βασάνων σεισμόν.

4 θάρρει τοιγαροῦν, ὦ μήτηρ ἱερόψυχε, τὴν
ἐλπίδα τῆς ὑπομονῆς βεβαίαν ἔχουσα πρὸς
τὸν Θεόν.
5 οὐχ οὕτω σελήνη κατ' οὐρανὸν σὺν
ἄστροις σεμνή καθέστηκεν, ὡς σὺ τοὺς
ἰσαστέρους ἑπτὰ παῖδας φωταγωγήσασα
πρὸς τὴν εὐσέβειαν ἔντιμος καθέστηκας Θεῷ
καὶ ἐστήρισαι ἐν οὐρανῷ σὺν αὐτοῖς·
6 ἦν γὰρ ἡ παιδοποιΐα σου ἀπὸ Ἀβραὰμ τοῦ
πατρός.
7 Εἰ δὲ ἐξὸν ἡμῖν ἦν, ὥσπερ ἐπί τινος
πίνακος, ζωγραφῆσαι τὴν τῆς εὐσεβείας σου
ἱστορίαν, οὐκ ἂν ἔφριττον οἱ θεωροῦντες
μητέρα ἑπτὰ τέκνων δι' εὐσέβειαν ποικίλας
βασάνους μέχρι θανάτου ὑπομείνασαν;
8 καὶ γὰρ ἄξιον ἦν καὶ ἐπὶ αὐτοῦ τοῦ
ἐπιταφίου ἀναγράψαι καὶ ταῦτα τοῖς ἀπὸ τοῦ
ἔθνους εἰς μνείαν λεγόμενα·
9 ἐνταῦθα γέρων ἱερεὺς καὶ γυνὴ γηραιὰ καὶ
ἑπτὰ παῖδες ἐγκεκήδευται διὰ τυράννου βίαν,
τὴν Ἑβραίων πολιτείαν καταλῦσαι θέλοντος,
10 οἳ καὶ ἐξεδίκησαν τὸ ἔθνος εἰς Θεὸν
ἀφορῶντες καὶ μέχρι θανάτου τὰς βασάνους
ὑπομείναντες.
11 Ἀληθῶς γὰρ ἦν ἀγὼν θεῖος ὁ δι' αὐτῶν
γεγενημένος.
12 ἠθλοθέτει γὰρ τότε ἀρετὴ δι' ὑπομονῆς
δοκιμάζουσα· τὸ νῖκος ἀφθαρσίᾳ ἐν ζωῇ
πολυχρονίῳ.
13 Ἐλεάζαρ δὲ προηγωνίζετο, ἡ δὲ μήτηρ
τῶν ἑπτὰ παίδων ἐνήθλει, οἱ δὲ ἀδελφοὶ

ἠγωνίζοντο·
14 ὁ τύραννος ἀντηγωνίζετο, ὁ δὲ κόσμος
καὶ ὁ τῶν ἀνθρώπων βίος ἐθεώρει·
15 θεοσέβεια δὲ ἐνίκα, τοὺς ἑαυτῆς ἀθλητὰς
στεφανοῦσα.
16 Τίνες οὐκ ἐθαύμασαν τοὺς τῆς θείας
νομοθεσίας ἀθλητάς;
17 τίνες οὐκ ἐξεπλάγησαν; Αὐτὸς γέ τοι ὁ
τύραννος καὶ ὅλον τὸ συνέδριον αὐτῶν
ἐξεθαύμασαν αὐτῶν τὴν ὑπομονήν.
18 δι' ἣν καὶ τῷ θείῳ νῦν παρεστήκασι
θρόνῳ καὶ τὸν μακάριον βιοῦσιν αἰῶνα.
19 καὶ γάρ φησιν ὁ Μωσῆς· καὶ πάντες οἱ
ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου.
20 καὶ οὗτοι οὖν οἱ ἁγιασθέντες διὰ Θεὸν
τετίμηνται οὐ μόνον ταύτῃ τῇ τιμῇ ἀλλὰ καὶ
τῷ δι' αὐτοὺς τοῦ ἔθνους ἡμῶν τοὺς
πολεμίους μὴ ἐπικρατῆσαι
21 καὶ τὸν τύραννον τιμωρηθῆναι καὶ τὴν
πατρίδα καθαρισθῆναι,
22 ὥσπερ ἀντίψυχον γεγονότας τῆς τοῦ
ἔθνους ἁμαρτίας· καὶ διὰ τοῦ αἵματος τῶν
εὐσεβῶν ἐκείνων καὶ τοῦ ἱλαστηρίου
θανάτου αὐτῶν ἡ θεία πρόνοια τὸν Ἰσραὴλ
προκακωθέντα διέσωσε.
23 πρὸς γὰρ τὴν ἀνδρείαν αὐτῶν τῆς ἀρετῆς
καὶ τὴν ἐπὶ ταῖς βασάνοις αὐτῶν ὑπομονὴν ὁ
τύραννος ἀπιδὼν Ἀντίοχος, ἀνεκήρυξε τοῖς
στρατιώταις αὐτοῦ εἰς ὑπόδειγμα τὴν
ἐκείνων ὑπομονήν.
24 ἔσχε τε αὐτοὺς γενναίους καὶ ἀνδρείους
εἰς πεζομαχίαν καὶ πολιορκίαν καὶ

ἐκπορθήσας ἐνίκησε πάντας τοὺς πολεμίους.

# 18

1 Ω τῶν Ἀβραμιαίων σπερμάτων ἀπόγονοι
παῖδες Ἰσραηλῖται, πείθεσθε τῷ νόμῳ τούτῳ
καὶ πάντα τρόπον εὐσεβεῖτε,
2 γινώσκοντες ὅτι τῶν παθῶν δεσπότης
ἐστὶν ὁ εὐσεβὴς λογισμὸς καὶ οὐ μόνον τῶν
ἔνδοθεν, ἀλλὰ καὶ τῶν ἔξωθεν πόνων·
3 ἀνθ' ὧν διὰ τὴν εὐσέβειαν προέμενοι τὰ
σώματα τοῖς πόνοις ἐκεῖνοι, οὐ μόνον ὑπὸ
τῶν ἀνθρώπων ἐθαυμάσθησαν, ἀλλὰ καὶ
θείας μερίδος κατηξιώθησαν.
4 καὶ δι' αὐτοὺς εἰρήνευσε τὸ ἔθνος, καὶ τὴν
εὐνομίαν τὴν ἐπὶ τῆς πατρίδος
ἀνανεωσάμενοι ἐκπεπολιορκήκασιν τοὺς
πολεμίους.
5 καὶ ὁ τύραννος Ἀντίοχος καὶ ἐπὶ γῆς
τετιμώρηται καὶ ἀποθανὼν κολάζεται· ὡς
γὰρ οὐδὲν οὐδαμῶς ἴσχυσεν ἀναγκάσαι τοὺς
Ἱεροσολυμίτας ἀλλοφυλῆσαι καὶ τῶν
πατρίων ἐθῶν ἐκδιαιτηθῆναι, τότε δὴ ἀπάρας
ἀπὸ τῶν Ἱεροσολύμων ἐστρατοπέδευσεν ἐπὶ
Πέρσας.
6 ἔλεγε δὲ ἡ μήτηρ τῶν ἑπτὰ παίδων καὶ
ταῦτα τὰ δικαιώματα τοῖς τέκνοις·
7 ὅτι ἐγὼ ἐγεννήθην παρθένος ἁγνὴ καὶ οὐχ
ὑπερέβην τὸν πατρικὸν οἶκον, ἐφύλασσον δὲ
τὴν ᾠκοδομημένην πλευράν.
8 οὐδὲ ἔφθειρέ με λυμεὼν ἐρημίας φθορεὺς
ἐν πεδίῳ, οὐδὲ ἐλυμήνατό μου τὰ ἁγνὰ τῆς

παρθενίας λυμεὼν ἀπατηλὸς ὄφις· ἔμεινα δὲ
χρόνον ἀκμῆς σὺν ἀνδρί.
9 τούτων δὲ ἐνηλίκων γενομένων
ἐτελεύτησεν ὁ πατὴρ αὐτῶν, μακάριος μὲν
ἐκεῖνος, τὸν γὰρ τῆς εὐτεκνίας βίον ἐπιζήσας
τὸν τῆς ἀτεκνίας οὐκ ὠδυνήθη καιρόν.
10 ὃς ἐδίδασκεν ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν, τὸν
νόμον καὶ τοὺς προφήτας.
11 τὸν ἀναιρεθέντα Ἄβελ ὑπὸ Κάϊν,
ἀνεγίνωσκε τε ὑμῖν καὶ τὸν ὁλοκαρπούμενον
Ἰσαὰκ καὶ τὸν ἐν φυλακῇ Ἰωσήφ.
12 ἔλεγε δὲ ὑμῖν τὸν ζηλωτὴν Φινεές,
ἐδίδασκέ τε ὑμᾶς τοὺς ἐν πυρὶ Ἀνανίαν καὶ
Ἀζαρίαν καὶ Μισαήλ.
13 ἐδόξαζε δὲ καὶ τὸν ἐν λάκκῳ λεόντων
Δανιήλ, ὃν καὶ ἐμακάριζεν.
14 ὑπεμίμνησκε δὲ ὑμᾶς καὶ τὴν Ἡσαΐου
γραφὴν τὴν λέγουσαν· κἂν διὰ πυρὸς
διέλθῃς, φλὸξ οὐ κατακαύσει σε.
15 τὸν ὑμνογράφον ἐμελῴδει ὑμῖν Δαυὶδ τὸν
λέγοντα· πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ
ἐκ πασῶν αὐτῶν ρύσεται αὐτοὺς ὁ Κύριος.
16 τὸν Σαλομῶντα ἐπαροιμίαζεν ὑμῖν τὸν
λέγοντα· ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ποιοῦσιν
αὐτοῦ τὸ θέλημα.
17 τὸν Ἰεζεκιὴλ ἐπιστοποιεῖτο τὸν λέγοντα·
εἰ ζήσεται τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα;
18 ᾠδὴν μὲν γάρ, ἣν ἐδίδαξε Μωϋσῆς, οὐκ
ἐπελάθετο τὴν διδάσκουσαν καὶ λέγουσαν·
ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω·
19 αὕτη ἡ ζωὴ ὑμῶν καὶ ἡ μακρότης τῶν

ἡμερῶν.
20 Ὢ πικρᾶς τῆς τότε ἡμέρας καὶ οὐ πικρᾶς, ὅτε ὁ πικρὸς Ἑλλήνων τύραννος πῦρ φλέξας λέβησιν ὠμοῖς καὶ ζέουσι θυμοῖς ἀγαγὼν ἐπὶ τὸν καταπέλτην καὶ πάσας τὰς βασάνους αὐτοῦ τοὺς ἑπτὰ παῖδας τῆς Ἀβρααμίτιδος
21 καὶ τὰς τῶν ὀμμάτων κόρας ἐπήρωσε καὶ γλώσσας ἐξέτεμε καὶ βασάνοις ποικίλαις ἀπέκτεινεν.
22 ὑπὲρ ὧν ἡ θεία δίκη μετῆλθε καὶ μετελεύσεται τὸν ἀλάστορα τύραννον.
23 οἱ δὲ Ἀβραμιαῖοι παῖδες σὺν τῇ ἀθλοφόρῳ μητρὶ εἰς πατέρων χορὸν συναγελάζονται ψυχὰς ἁγνὰς καὶ ἀθανάτους ἀπειληφότες παρὰ τοῦ Θεοῦ,
24 ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὸ βιβλίον ‘Μακκαβαίων Δ’, ὡς ‘ἀπόκρυφον’ δὲν συγκατελέχθη ὑπὸ τῆς Ἐκκλησίας μεταξὺ τῶν κανονικῶν βιβλίων τῆς Παλαιᾶς Διαθήκης. Ἐν τούτοις, λόγῳ τῆς σπουδαιότητος τοῦ περιεχομένου αὐτοῦ καὶ τῆς συμπεριλήψεώς του εἰς ἀρχαῖα χειρόγραφα τῆς Μεταφράσεως τῶν Ἑβδομήκοντα (Ο), ἐκδίδεται συνήθως μετὰ τῶν ἄλλων βιβλίων τῶν Μακκαβαίων (Α-Γ).

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a